UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Zeno et Zenonis discipuli

**Arnim, Hans von**

**Lipsiae, 1905**

Pars II. Zenonis discipuli

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2758

Visual Library

PARS II

# ZENONIS DISCIPULI

# 1. Aristo Chius.

**333** Diogenes Laërt. VII 160. *Ἀρίστων ὁ Χῖος ὁ Φάλανθος, ἐπικαλούμενος Σειρήν* (secuntur placita). *οὕτως δὲ φιλοσοφῶν καὶ ἐν Κυνοσάργει διαλεγόμενος ἴσχυσεν αἱρετιστὴς ἀκοῦσαι. Μιλτιάδης οὖν καὶ Δίφιλος Ἀριστώνειοι προσηγορεύοντο. ἦν δέ τις πειστικὸς καὶ ὄχλῳ πεποιημένος· ὅθεν ὁ Τίμων φησὶ περὶ αὐτοῦ·* (fr. 61 W.)

*καί τις Ἀρίστωνος γενεὴν ἄπο αἱμύλου ἕλκων.*

*παραβαλὼν δὲ Πολέμωνι, φησὶ Διοκλῆς ὁ Μάγνης, μετέθετο, Ζήνωνος ἀῤῥωστίᾳ μακρᾷ περιπεσόντος·* (secuntur narratiunculae de Aristonis cum Persaeo et cum Arcesilao litibus n. 346. 347) *Βιβλία δὲ αὐτοῦ φέρεται τάδε·*

*Προτρεπτικῶν β'.*
*περὶ τῶν Ζήνωνος δογμάτων·*
*διάλογοι·*
*σχολῶν ϛ'·*
*περὶ σοφίας διατριβῶν ζ'·*
*ἐρωτικαὶ διατριβαί·*
*ὑπομνήματα ὑπὲρ κενοδοξίας·*
*ὑπομνημάτων κε'·*
*ἀπομνημονευμάτων γ'·*
*χρειῶν ια'·*
*πρὸς τοὺς ῥήτορας·*
*πρὸς τὰς Ἀλεξίνου ἀντιγραφάς·*
*πρὸς τοὺς διαλεκτικούς γ'·*
*πρὸς Κλεάνθην· ἐπιστολῶν δ'.* (Distinxi epistulas a libro *πρ. Κλ.*)

*Παναίτιος δὲ καὶ Σωσικράτης μόνας αὐτοῦ τὰς ἐπιστολάς φασι, τὰ δὲ ἄλλα τοῦ Περιπατητικοῦ Ἀρίστωνος. τοῦτον λόγος φαλακρὸν ὄντα ἐγκαυθῆναι ὑπὸ ἡλίου καὶ ὧδε τελευτῆσαι.*

---

5 *Δείφιλος* B, *Διίφιλος* P, corr. P[3]  7 *γενεὴν* Meineke, *γέννης* libri. ‖ *ἀπὸ αἱμύλου* P (*αι* ex *ε* P[1]) L, *ἀποεμυλον* (incertum *ν* an *υ* in fine) B.  27 verba: *τὰ δὲ ἄλλα τοῦ Περιπατητικοῦ Ἀρίστωνος*, si omnino a Panaetio vel Sosicrate profecta sunt, certe non referenda sunt ad catalogum qui antecedit. Qui cum scholas, diatribas, hypomnemata, apomnemoneumata, chrias contineat, valde accommodatus est ei philosopho, qui scribendo fere abstineret. Nam haec omnia

Cf. prooem. 16. *καὶ οἱ μὲν αὐτῶν* (scil. *τῶν φιλοσόφων*) *κατέλιπον ὑπομνήματα, οἱ δ' ὅλως οὐ συνέγραψαν, ὥσπερ κατά τινας Σωκράτης, Στίλπων, Φίλιππος, Μενέδημος, Πύῤῥων — — κατά τινας Πυθαγόρας, Ἀρίστων ὁ Χῖος πλὴν ἐπιστολῶν ὀλίγων.*

**334** Themistius or. 21 p. 255 Hard. *ἐκφανέντος δὲ ἐν φιλοσοφίᾳ καὶ ἐκλάμψαντος τοῦ ἀληθοῦς, ἀναιμωτὶ πάντες ἀπολαύουσιν οἱ συλλαβόμενοι τοῦ ἔργου. διὰ τοῦτο ἠσπάζετο Ἀρίστων Κλεάνθην καὶ τῶν ὁμιλητῶν ἐκοινώνει.*

**335** Ind. Stoic. Herc. col. XXXIII 4. *(πε)ρί γε μὴν | Ἀρίστω-ν(ος το)ῦ Χίου | παραμ* ... etc.

col. XXXIV. *τῆς τραγῳδ(ίας ἡ) μ(ὲν ἀν)|δρωνῖτις τῆς γρα(φῆς)· | τῷ νῷ δὲ ἁρμοσ(τὸ)ν | ἓν μόν(ο)ν κα(ὶ) το(ι)οῦ|τό τι λε(χθ)ὲν οὐ μ(όνο)ν | ἴσω(ς) ὑφ' (ἡ)μῶν δ* ... etc.

*Nolui omittere, quae ad Aristonem aliquo modo pertinere certum est; sed sententia parum perspicitur. Temptavi:* (*πρὸς δὲ τὸ πολλαχῶς δύνασθαι ἐξηγεῖσθαι κἂν ἀσάφεια μετὰ*) *τῆς τραγῳδ(ίας ἅ)μ(α συν)δρομῇ τις τῆς γρα(φῆς). Agitur fortasse de loco libri obscuro et tragica dictione fucato. Qui liber aut Aristonis fuit aut de Aristone conscriptus. Supplementa in textu posita sunt Buecheleri.*

**336** Ind. Stoic. Herc. col. XXXV. *συνενέπνει μετ(ὰ) | τῶν λόγων μένος | τι κα(ὶ θυ)μόν, ὥσπερ | φησὶν ὁ (π)οιητὴς τὴ(ν) Ἀθηνᾶν, ὥσθ' ἕκασ|τον καθ(ά)περ* ... (*ἐν*) | *μέθαις* .......... | *μετεπι* ... etc.

*Aristonis admirabilem dicendi vim describi certum est.*

**337** Aelianus Var. Hist. III 33. *Σάτυρος ὁ αὐλητὴς Ἀρίστωνος τοῦ φιλοσόφου πολλάκις ἠκροᾶτο καὶ κηλούμενος ἐκ τῶν λεγομένων ἐπέλεγεν·* (*E* 215)

*εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην,*

*τοὺς αὐλοὺς αἰνιττόμενος καὶ τρόπον τινὰ τὴν τέχνην ἐκφαυλίζων παραβολῇ τῇ πρὸς φιλοσοφίαν.*

**338** Strabo I p. 15 (de Eratosthene). *„ἐγένοντο γάρ, φησιν, ὡς οὐδέποτε, κατὰ τοῦτον τὸν καιρὸν ὑφ' ἕνα περίβολον καὶ μίαν πόλιν οἱ κατ' Ἀρίστωνα καὶ Ἀρκεσίλαον ἀνθήσαντες φιλόσοφοι."* — — *ὁ δὲ Ἀρκεσίλαον καὶ Ἀρίστωνα τῶν καθ' αὑτὸν ἀνθησάντων κορυφαίους τίθησιν.* — — *ἐν αὐταῖς γὰρ ταῖς ἀποφάσεσι ταύταις ἱκανὴν*

---

ab aliis probabile est litteris mandata esse. Quod fortasse ad dialogos quoque referri potest. Scilicet colloquia fuerunt ab ipso Aristone cum discipulis habita. Protreptici, de Zenonis placitis liber, cum Alexino et dialecticis pugna Stoico tantum Aristoni conveniunt. 7 Stoicus Aristo certe intelligitur; in sequentibus Themistius etiam Peripateticum commemorat: *Ἀρίστων ὁ ἐκ Λυκείου.*
8 *καὶ — ἐκοινώνει* scil. non prohibuit, ne iidem adulescentuli et se audirent et Cleanthem. 12 ΤΩΝΟϹ . ΔЄ pap. ‖ ΑΡΜΟϹ . . Η pap. 21 *τὴν Ἀθηνᾶν* e. gr. Κ 482 *τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη.*

ἀσθένειαν ἐμφαίνει τῆς ἑαυτοῦ γνώμης, ἣ τοῦ Ζήνωνος τοῦ Κιτιέως γνώριμος γενόμενος Ἀθήνησι τῶν μὲν ἐκεῖνον διαδεξαμένων οὐδενὸς μέμνηται, τοὺς δ' ἐκείνῳ διενεχθέντας καὶ ὧν διαδοχὴ οὐδεμία σώζεται, τούτους ἀνθῆσαί φησι κατὰ τὸν καιρὸν ἐκεῖνον.

**339** Diogenes Laërt. VII 182. οὗτος (scil. Chrysippus) ὀνειδισθεὶς ὑπό τινος ὅτι οὐχὶ παρὰ Ἀρίστωνι μετὰ πολλῶν σχολάζοι· „εἰ τοῖς πολλοῖς, εἶπε, προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα."

**340** Diogenes Laërt. VII 18. Ἀρίστωνος δὲ τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εὐφυῶς, ἔνια δὲ καὶ προπετῶς καὶ θρασέως „ἀδύνατον, εἰπεῖν (τὸν Ζήνωνα), εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν." ὅθεν αὐτὸν καὶ λάλον ἀπεκάλει, βραχυλόγος ὤν.

**341** Athenaeus VII 281 c. καὶ τῶν Στωϊκῶν δέ τινες συνεφήψαντο ταύτης τῆς ἡδονῆς· Ἐρατοσθένης γοῦν ὁ Κυρηναῖος μαθητὴς γενόμενος Ἀρίστωνος τοῦ Χίου, ὃς ἦν εἷς τῶν ἀπὸ τῆς Στοᾶς, ἐν τῷ ἐπιγραφομένῳ Ἀρίστωνι παρεμφαίνει τὸν διδάσκαλον ὡς ὕστερον ὁρμήσαντα ἐπὶ τρυφήν, λέγων ὧδε· „ἤδη δέ ποτε καὶ τοῦτον πεφώρακα τὸν τῆς ἡδονῆς καὶ ἀρετῆς μεσότοιχον διορύττοντα καὶ ἀναφαινόμενον παρὰ τῇ ἡδονῇ."

**342** Athenaeus VI 251 b. Τίμων ὁ Φλιάσιος ἐν τῷ τρίτῳ τῶν σίλλων (fr. 64 W.) Ἀρίστωνά φησι τὸν Χῖον, Ζήνωνος δὲ τοῦ Κιτιέως γνώριμον, κόλακα γενέσθαι Περσαίου τοῦ φιλοσόφου, ὅτι ἦν ἑταῖρος Ἀντιγόνου τοῦ βασιλέως.

**343** Diogenes Laërt. IV 33. καὶ τῆς διαλεκτικῆς εἴχετο (ὁ Ἀρκεσίλαος) καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων· ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος·

πρόσθε Πλάτων, ὄπιθεν Πύρρων, μέσσος Διόδωρος.

**344** Sextus hypotyp. I 234. (de Arcesilao locutus) ἔνθεν καὶ τὸν Ἀρίστωνα εἰπεῖν περὶ αὐτοῦ·

πρόσθε Πλάτων, ὄπιθεν Πύρρων, μέσσος Διόδωρος,

διὰ τὸ προσχρῆσθαι τῇ διαλεκτικῇ τῇ κατὰ τὸν Διόδωρον, εἶναι δὲ ἄντικρυς Πλατωνικόν.

**345** Diogenes Laërt. IV 40. (ὁ Ἀρκεσίλαος) φιλομειράκιός τε ἦν καὶ καταφερής· ὅθεν οἱ περὶ Ἀρίστωνα τὸν Χῖον Στωϊκοὶ ἐπεκάλουν αὐτῷ, φθορέα τῶν νέων καὶ κιναιδολόγον καὶ θρασὺν ἀποκαλοῦντες. καὶ γὰρ καὶ Δημητρίου τοῦ πλεύσαντος εἰς Κυρήνην ἐπὶ πλέον ἐρασθῆναι λέγεται καὶ Κλεοχάρους τοῦ Μυρλεανοῦ· ἐφ' ᾧ καὶ πρὸς τοὺς

---

3 Scil. Cleanthem nominare debuit, secundum Strabonem. ‖ διενεχθέντας: eodem vocabulo utitur Diog. Laërt. de Aristone, Herillo, Dionysio. 9 desidero: καὶ (pro οὐκ) εὐφυῶς. 11 λάλον, λα in ras. B. 14 Vix opus est dicere mentionem Aristonis ab Eratosthene factam valde honorificam fuisse. 26 Il. Z 181 πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα.

κωμάσαντας εἶπεν, αὐτὸς μὲν θέλειν ἀνοῖξαι, ἐκεῖνον δὲ διακωλύειν. τούτου δὲ ἤρων καὶ Δημοχάρης ὁ Λάχητος καὶ Πυθοκλῆς ὁ τοῦ Βουγέλου· οὓς καταλαβὼν ὑπ' ἀνεξικακίας παραχωρεῖν ἔφη. διὰ ταῦτα δὴ οὖν ἔδακνόν τε αὐτὸν οἱ προειρημένοι καὶ ἐπέσκωπτον ὡς φίλοχλον καὶ φιλόδοξον. μάλιστα δὲ ἐπετίθεντο αὐτῷ παρὰ Ἱερωνύμῳ τῷ Περιπατητικῷ, ὁπότε συνάγοι τοὺς φίλους ἐς τὴν Ἀλκυονέως τοῦ Ἀντιγόνου υἱοῦ ἡμέραν, εἰς ἣν ἱκανὰ χρήματα ἀπέστειλεν ὁ Ἀντίγονος πρὸς ἀπόλαυσιν. ἔνθα καὶ παραιτούμενος ἑκάστοτε τὰς ἐπικυλικείους ἐξηγήσεις πρὸς Ἀρίδηλον προτείνοντά τι θεώρημα καὶ ἀξιοῦντα εἰς αὐτὸ λέγειν εἶπεν· „ἀλλ' αὐτὸ τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, τὸ καιρὸν ἑκάστων ἐπίστασθαι."

**346** Diogenes Laërt. VII 162. ἀπετείνετο δὲ (ὁ Ἀρίστων) πρὸς Ἀρκεσίλαον, ὅτε θεασάμενος ταῦρον τερατώδη μήτραν ἔχοντα „οἴμοι, ἔφη, δέδοται Ἀρκεσιλάῳ ἐπιχείρημα κατὰ τῆς ἐναργείας."

πρὸς δὲ τὸν φάμενον Ἀκαδημαϊκὸν οὐδὲν καταλαμβάνειν „ἆρ' οὐδὲ τὸν πλησίον σου καθήμενον ὁρᾷς;" εἶπεν· ἀρνησαμένου δέ·

„τίς σ' ἐκτύφλωσεν, ἔφη, τίς ἀφείλετο λαμπάδος αὐγάς;"

**347** Diogenes Laërt. VII 162. μάλιστα δὲ προσεῖχε (scil. Aristo) Στωικῷ δόγματι τῷ τὸν σοφὸν ἀδόξαστον εἶναι. πρὸς ὃ Περσαῖος ἐναντιούμενος διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παρακαταθήκην δοῦναι, ἔπειτα τὸν ἕτερον ἀπολαβεῖν· καὶ οὕτως ἀπορούμενον διήλεγξεν.

**348** Cicero de nat. deor. III 77. *si verum est, quod Aristo Chius dicere solebat, nocere audientibus philosophos iis, qui bene dicta male interpretarentur; posse enim asotos ex Aristippi, acerbos e Zenonis schola exire.*

**349** Diogenes Laërt. II 79. (ὁ Ἀρίστιππος) τοὺς τῶν ἐγκυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας ὁμοίους ἔλεγεν εἶναι — — τὸ δ' ὅμοιον καὶ Ἀρίστων· τὸν γὰρ Ὀδυσσέα καταβάντα εἰς ᾅδου τοὺς μὲν νεκροὺς πάντας σχεδὸν ἑωρακέναι καὶ συντετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐτὴν μὴ τεθεᾶσθαι.

**350** Stobaeus Florilegium 4, 109 Vol. I p. 246 Hense (4, 110 Mein.). Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Ἀρίστων ὁ Χῖος τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονουμένους, ἀμελοῦντας δὲ φιλοσοφίας, ἔλεγεν ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἳ ἀποτυγχάνοντες ἐκείνης περὶ τὰς θεραπαίνας ἐγίνοντο.

Cf. Diog. Laërt. II 79. Plut. de lib. educ. p. 7 d. Gnomol. Vatic. 166. Crameri Anecd. Paris. IV 411, 15 (Hense).

---

13 ὅτε] ἵνα BL, ὅτι in litura P[3]. 14 Ἀρκέσιλαι B. 15 Ἀκαδημικὸν BP. ‖ μηδὲν BPL. 17 τίς δέ σε B. ‖ ἐτύφλωσε B. 19 δοξαστὸν BPL. 23 esset *Madvig*. Cf. simile dictum Zenonis n. 242.

idem 4, 110. ὁ αὐτὸς τοὺς πολλοὺς εἴκαζε τῷ Λαέρτῃ, ὅστις τῶν κατὰ τὸν ἀγρὸν ἐπιμελούμενος πάντων, ὀλιγώρως εἶχεν ἑαυτοῦ· καὶ γὰρ τούτους τῶν κτημάτων πλείστην ἐπιμέλειαν ποιουμένους περιορᾶν τὴν ψυχὴν ἑαυτῶν πλήρη παθῶν ἀγρίων οὖσαν. (Od. ω 249).

## Placita.

**351** Diogenes Laërt. VII 160. Ἀρίστων ὁ Χῖος — τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρὸς τὰ μεταξὺ ἀρετῆς καὶ κακίας, μηδὲ ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα· εἶναι γὰρ ὅμοιον τὸν σοφὸν τῷ ἀγαθῷ ὑποκριτῇ, ὃς ἄν τε Θερσίτου ἄν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ, ἑκάτερον ὑποκρίνεται προσηκόντως. τόν τε φυσικὸν τόπον καὶ τὸν λογικὸν ἀνῄρει, λέγων τὸν μὲν εἶναι ὑπὲρ ἡμᾶς, τὸν δ' οὐδὲν πρὸς ἡμᾶς, μόνον δὲ τὸν ἠθικὸν εἶναι πρὸς ἡμᾶς. ἐοικέναι δὲ τοὺς διαλεκτικοὺς λόγους τοῖς ἀραχνίοις, ἃ καίτοι δοκοῦντα τεχνικόν τι ἐμφαίνειν, ἄχρηστά ἐστιν. ἀρετάς τε οὔτε πολλὰς εἰσῆγεν, ὡς ὁ Ζήνων, οὔτε μίαν πολλοῖς ὀνόμασι καλουμένην, ὡς οἱ Μεγαρικοί, ἀλλὰ κατὰ τὸ πρός τί πως ἔχειν.

**352** Stobaeus ecl. II 8, 13 W. Ἀρίστωνος· Ἀρίστων ἔφη τῶν ζητουμένων παρὰ τοῖς φιλοσόφοις τὰ μὲν εἶναι πρὸς ἡμᾶς, τὰ δὲ μηδὲν πρὸς ἡμᾶς, τὰ δ' ὑπὲρ ἡμᾶς. πρὸς ἡμᾶς μὲν τὰ ἠθικά, μὴ πρὸς ἡμᾶς δὲ τὰ διαλεκτικά (μὴ γὰρ συμβάλλεσθαι πρὸς ἐπανόρθωσιν βίου)· ὑπὲρ ἡμᾶς δὲ τὰ φυσικά· ἀδύνατα γὰρ ἐγνῶσθαι καὶ οὐδὲ παρέχειν χρείαν.

**353** Eusebius praep. evang. XV 62, 7 (p. 854c). ταῦτα μὲν οὖν ὁ Σωκράτης· μετὰ δὲ αὐτὸν οἱ περὶ Ἀρίστιππον τὸν Κυρηναῖον, ἔπειθ' ὕστερον οἱ περὶ Ἀρίστωνα τὸν Χῖον ἐπεχείρησαν λέγειν ὡς δέοι μόνα τὰ ἠθικὰ φιλοσοφεῖν· εἶναι γὰρ δὴ ταῦτα μὲν δυνατὰ καὶ ὠφέλιμα· τοὺς μέντοι περὶ τῆς φύσεως λόγους πᾶν τοὐναντίον μήτε καταληπτοὺς εἶναι μήτ', εἰ καὶ ὀφθεῖεν, ὄφελος ἔχειν τι. μηδὲν γὰρ ἡμῖν ἔσεσθαι πλέον, ἀλλ' οὐδ' εἰ μετεωρότεροι τοῦ Περσέως ἀρθέντες (frg. trag. adesp. 131 N)

ὑπέρ τε πόντου χεῦμ' ὑπέρ τε πλειάδα

αὐτοῖς τοῖς ὄμμασι κατίδοιμεν τὸν πάντα κόσμον καὶ τὴν τῶν ὄντων φύσιν ἥτις δήποτέ ἐστιν. οὐ γὰρ δὴ διά γε τοῦτο φρονιμωτέρους ἢ δικαιοτέρους ἢ ἀνδρειοτέρους ἢ σωφρονεστέρους ἡμᾶς ἔσεσθαι, καὶ μὴν οὐδὲ ἰσχυροὺς ἢ καλοὺς ἢ πλουσίους, ὧν χωρὶς οὐχ οἷόν τε εὐ-

---

7 τι pro τὰ BPLD. 10 ἑκατέρων B. 14 ἄχριστα B[1], corr. B[2] cf. n. 391.
22 οὔτε libri, corr. Meineke. 32 ad Euripidis Andromedam rettulit Meineke.

δαιμονεῖν. ὅθεν ὀρθῶς εἶπε Σωκράτης ὅτι τῶν ὄντων τὰ μὲν ὑπὲρ ἡμᾶς εἴη, τὰ δὲ οὐδὲν πρὸς ἡμᾶς. εἶναι γὰρ τὰ φυσικὰ μὲν ὑπὲρ ἡμᾶς, τὰ δὲ μετὰ τὸν θάνατον οὐδὲν πρὸς ἡμᾶς, μόνα δὲ πρὸς ἡμᾶς τὰ ἀνθρώπινα. ταύτῃ δὲ καὶ χαίρειν αὐτὸν εἰπόντα τῇ Ἀναξαγόρου καὶ Ἀρχελάου φυσιολογίᾳ ζητεῖν

ὅττι οἱ ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

Καὶ ἄλλως δὲ εἶναι τοὺς φυσικοὺς λόγους οὐ χαλεποὺς οὐδὲ ἀδυνάτους μόνον, ἀλλὰ καὶ ἀσεβεῖς καὶ τοῖς νόμοις ὑπεναντίους. τοὺς μὲν γὰρ ἀξιοῦν μηδ' εἶναι θεοὺς τὸ παράπαν, τοὺς δὲ τὸ ἄπειρον ἢ τὸ ὂν ἢ τὸ ἕν, καὶ πάντα μᾶλλον ἢ τοὺς νομιζομένους· τήν τ' αὖ διαφωνίαν παμπόλλην οὖσαν· τοὺς μὲν γὰρ ἄπειρον ἀποφαίνειν τὸ πᾶν, τοὺς δὲ πεπερασμένον, καὶ τοὺς μὲν ἀξιοῦν ἅπαντα κινεῖσθαι, τοὺς δὲ καθάπαξ μηδέν.

**354** Diogenes Laërt. VI 103. ἀρέσκει οὖν αὐτοῖς (scil. τοῖς Κυνικοῖς) τὸν λογικὸν καὶ τὸν φυσικὸν τόπον περιαιρεῖν, ἐμφερῶς Ἀρίστωνι τῷ Χίῳ, μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ.

**355** Cicero Acad. Pr. II 123. *Liber igitur a tali irrisione Socrates, liber Aristo Chius, qui nihil istorum (scil. physicorum) sciri putat posse.*

**356** Sextus adv. math. VII 12. καὶ Ἀρίστων δὲ ὁ Χῖος οὐ μόνον, ὥς φασι, παρῃτεῖτο τήν τε φυσικὴν καὶ λογικὴν θεωρίαν διὰ τὸ ἀνωφελὲς καὶ πρὸς κακοῦ τοῖς φιλοσοφοῦσιν ὑπάρχειν, ἀλλὰ καὶ τοῦ ἠθικοῦ τόπους τινὰς συμπεριέγραφεν, καθάπερ τόν τε παραινετικὸν καὶ τὸν ὑποθετικὸν τόπον· τούτους γὰρ εἰς τίτθας ἂν καὶ παιδαγωγοὺς πίπτειν, ἀρκεῖν δὲ πρὸς τὸ μακαρίως βιῶναι τὸν οἰκειοῦντα μὲν πρὸς ἀρετὴν λόγον, ἀπαλλοτριοῦντα δὲ κακίας, κατατρέχοντα δὲ τῶν μεταξὺ τούτων, περὶ ἃ οἱ πολλοὶ πτοηθέντες κακοδαιμονοῦσιν.

**357** Seneca epist. 89, 13. *Ariston Chius non tantum supervacuas esse dixit naturalem et rationalem (scil. partem philosophiae) sed etiam contrarias. moralem quoque, quam solam reliquerat, circumcidit. nam eum locum, qui monitiones continet, sustulit et paedagogi esse dixit, non philosophi, tamquam quicquam aliud sit sapiens quam generis humani paedagogus.*

**357a** Lactant. div. instit. VII 7. *Ad virtutem capessendam nasci homines, Ariston disseruit.*

**358** Seneca epist. 94, 1. *Eam partem philosophiae, quae dat propria cuique personae praecepta nec in universum componit hominem, sed marito suadet, quomodo se gerat adversus uxorem, patri quomodo educet liberos, domino quomodo servos regat, quidam solam receperunt. — —*

---

25. ἀρκεῖσθαι libri.

*Sed Ariston Stoicus ⟨e⟩ contrario hanc partem levem existimat et quae non descendat in pectus usque. ad illam habentem praecepta plurimum ait proficere ipsa decreta philosophiae constitutionemque summi boni, quam qui bene intellexit ac didicit, quid in quaque re faciendum sit, sibi ipse praecepit.*

**359** Seneca epist. 94,5. *Qui hanc partem (scil. eam quae dat propria cuique personae praecepta) videri volunt supervacuam, hoc aiunt: Si quid oculis oppositum moratur aciem, removendum est. illo quidem obiecto operam perdidit, qui praecipit: „sic ambulabis, illo manum porriges.“ Eodem modo ubi aliqua res obcaecat animum et ad officiorum dispiciendum ordinem impedit, nihil agit, qui praecipit: „sic vives cum patre, sic cum uxore.“ nihil enim proficient praecepta, quamdiu menti error obfusus est; si ille discutitur, adparebit, quid cuique debeatur officio; alioquin doces illum, quid sano faciendum sit, non efficis sanum. Pauperi ut agat divitem monstras: hoc quomodo manente paupertate fieri potest? ostendis esurienti, quid tamquam satur faciat: fixam potius medullis famem detrahe. Idem tibi de omnibus vitiis dico: ipsa removenda sunt, non praecipiendum, quod fieri illis manentibus non potest. nisi opiniones falsas, quibus laboramus, expuleris, nec avarus, quomodo pecunia utendum sit, exaudiet, nec timidus, quomodo periculosa contemnat. efficias oportet, ut sciat pecuniam nec bonum nec malum esse; ostendas illi miserrimos divites; efficias ut, quicquid publice expavimus, sciat non esse tam timendum quam fama circumfert, nec dolere [quemquam] nec mori. saepe in morte, quam pati lex est, magnum esse solatium, quod ad neminem redit; in dolore pro remedio futuram obstinationem animi, qui levius sibi facit, quicquid contumaciter passus est. optimam doloris esse naturam, quod non potest nec qui extenditur magnus esse nec qui est magnus extendi. omnia fortiter excipienda, quae nobis mundi necessitas imperat. His decretis cum illum in conspectum suae condicionis adduxeris et cognoverit beatam esse vitam non quae secundum voluptatem est, sed secundum naturam, cum virtutem unicum bonum hominis adamaverit, turpitudinem solum malum fugerit, reliqua omnia, divitias, honores, bonam valetudinem, vires, imperia scierit esse mediam partem, nec bonis adnumerandam nec malis: monitorem non desiderabit ad singula, qui dicat: „sic incede, sic coena. hoc viro, hoc feminae, hoc marito, hoc caelibi convenit.“ ista enim qui diligentissime monent, ipsi facere non possunt. haec paedagogus puero, haec avia nepoti praecipit, et irascendum non esse magister iracundissimus disputat. si ludum litterarium intraveris, scies ista, quae ingenti supercilio philosophi iactant in puerili esse praescripto.*

23 quemquam *delevi.* 28 Cf. Epicuri fr. 446 Us.

*Utrum deinde manifesta an dubia praecipies? non desiderant manifesta monitorem. praecipienti dubia non creditur. supervacuum est ergo praecipere. id adeo sic disce: si id mones, quod obscurum est et ambiguum, probationibus adiuvandum erit. si probaturus es, illa per quae probas, plus valent satisque per se sunt. „Sic amico utere, sic cive, sic socio.“ Quare? „quia iustum est.“ Omnia ista mihi de iustitia locus tradit. illic invenio aequitatem per se expetendam; nec metu nos ad illam cogi nec mercede conduci; non esse iustum, cui quicquam in hac virtute placet praeter ipsam. hoc cum persuasi mihi et perbibi, quid ista praecepta proficiunt, quae eruditum docent? praecepta dare scienti supervacuum est, nescienti parum. audire enim debet non tantum, quid sibi praecipiatur, sed etiam quare. Utrum, inquam, veras opiniones habenti de bonis malisque sunt necessaria an non habenti? qui non habet, nihil a te adiuvabitur. aures eius contraria monitionibus tuis fama possedit. qui habet exactum iudicium de fugiendis petendisque, scit, quid sibi faciendum sit, etiam te tacente. tota ergo pars ista philosophiae submoveri potest.*

*Duo sunt, propter quae delinquimus: aut inest animo pravis opinionibus malitia contracta, aut etiamsi non est falsis occupatus, ad falsa proclivis est et cito specie quo non oportet trahente corrumpitur. itaque debemus aut percurare mentem aegram et vitiis liberare, aut vacantem quidem, sed ad peiora pronam praeoccupare. utrumque decreta philosophiae faciunt. ergo tale praecipiendi genus nil agit.*

*Praeterea si praecepta singulis damus, incomprehensibile opus est. alia enim dare debemus feneranti, alia colenti agrum, alia negotianti, alia regum amicitias sequenti, alia pares, alia inferiores amaturo. In matrimonio praecipias, quomodo vivat cum uxore aliquis, quam virginem duxit, quomodo cum ea, quae alicuius ante matrimonium experta est, quemadmodum cum locuplete, quemadmodum cum indotata. an non putas aliquid esse discriminis inter sterilem et fecundam, inter provectiorem et puellam, inter matrem et novercam? Omnes species complecti non possumus; atqui singulae propria exigunt. leges autem philosophiae breves sunt et omnia adligant. Adice nunc, quod sapientiae praecepta finita debent esse et certa; si qua finiri non possunt, extra sapientiam sunt. sapientia rerum terminos novit. ergo ista praeceptiva pars submovenda est, quia quod paucis promittit, praestare omnibus non potest, sapientia autem omnes tenet.*

*Inter insaniam publicam et hanc, quae medicis traditur, nihil interest, nisi quod haec morbo laborat, illa opinionibus falsis; altera causas furoris traxit ex valitudine, altera animi mala valitudo est. si quis furioso praecepta det, quomodo loqui debeat, quomodo procedere,*

*quomodo in publico se gerere, quomodo in privato, erit ipso, quem monebit, insanior; bilis nigra curanda est et ipsa furoris causa removenda. idem in hoc alio animi furore faciendum est. ipse discuti debet; alioquin abibunt in vanum monentium verba. Haec ab Aristone dicuntur.*

**360** Clemens Alex. Stromat. II p. 179 Sylb., Vol. I p. 497 Pott. τί δή σοι Ἀρίστωνα καταλέγοιμι; τέλος οὗτος εἶναι τὴν ἀδιαφορίαν ἔφη· τὸ δὲ ἀδιάφορον ἁπλῶς ἀδιάφορον ἀπολείπει.

**361** Sextus adv. math. XI 63. μὴ εἶναι δὲ προηγμένον ἀδιάφορον τὴν ὑγείαν καὶ πᾶν τὸ κατ' αὐτὴν παραπλήσιον ἔφησεν Ἀρίστων ὁ Χῖος. ἴσον γάρ ἐστι τὸ προηγμένον αὐτὴν λέγειν ἀδιάφορον τῷ ἀγαθὸν ἀξιοῦν, καὶ σχεδὸν ὀνόματι μόνον διαφέρον. καθόλου γὰρ τὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα μὴ ἔχειν μηδεμίαν παραλλαγήν, μηδὲ τινὰ μὲν εἶναι φύσει προηγμένα, τινὰ δὲ ἀποπροηγμένα, ἀλλὰ παρὰ τὰς διαφόρους τῶν καιρῶν περιστάσεις μήτε τὰ λεγόμενα προῆχθαι πάντως γίνεσθαι προηγμένα, μήτε τὰ λεγόμενα ἀποπροῆχθαι κατ' ἀνάγκην ὑπάρχειν ἀποπροηγμένα. ἐὰν γοῦν δέῃ τοὺς μὲν ὑγιαίνοντας ὑπηρετεῖν τῷ τυράννῳ καὶ διὰ τοῦτο ἀναιρεῖσθαι, τοὺς δὲ νοσοῦντας ἀπολυομένους τῆς ὑπηρεσίας συναπολύεσθαι καὶ τῆς ἀναιρέσεως, ἕλοιτ' ἂν μᾶλλον ὁ σοφὸς τὸ νοσεῖν κατὰ τοῦτον τὸν καιρὸν ἢ [ὅτι] τὸ ὑγιαίνειν. καὶ ταύτῃ οὔτε ἡ ὑγεία προηγμένον ἐστὶ πάντως οὔτε ἡ νόσος ἀποπροηγμένον. ὥσπερ οὖν ἐν ταῖς ὀνοματογραφίαις ἄλλοτ' ἄλλα προτάττομεν στοιχεῖα, πρὸς τὰς διαφόρους περιστάσεις ἀρτιζόμενοι, καὶ τὸ μὲν δέλτα ὅτε τὸ τοῦ Δίωνος ὄνομα γράφομεν, τὸ δὲ ἰῶτα ὅτε τὸ τοῦ Ἴωνος, τὸ δὲ ὦ ὅτε τὸ τοῦ Ὠρίωνος, οὐ τῇ φύσει ἑτέρων παρὰ τὰ ἕτερα γράμματα προκρινομένων, τῶν δὲ καιρῶν τοῦτο ποιεῖν ἀναγκαζόντων, οὕτω κἀν τοῖς μεταξὺ ἀρετῆς καὶ κακίας πράγμασιν οὐ φυσική τις γίνεται ἑτέρων παρ' ἕτερα πρόκρισις, κατὰ περίστασιν δὲ μᾶλλον.

**362** Cicero Acad. Pr. II 130. *Aristonem, qui cum Zenonis fuisset auditor, re probavit ea, quae ille verbis, nihil esse bonum nisi virtutem, nec malum nisi quod virtuti esset contrarium; in mediis ea momenta, quae Zeno voluit, nulla esse censuit. huic summum bonum est, in his rebus neutram in partem moveri, quae ἀδιαφορία ab ipso dicitur.*

Tusc. disp. V 27. *Aristo Chius — qui nisi quod turpe esset, nihil malum diceret.*

**363** Cicero de finibus II 35. *Nam Pyrrho, Aristo, Erillus iam diu abiecti.*

ibid. V 23. *Iam explosae eiectaeque sententiae Pyrrhonis, Aristo-*

---

8 ἁπλῶς ἀδιάφορον] cf. Zenonis fr. n. 191. 21 ὅτι seclusi.

*nis, Erilli, quod in hunc orbem, quem circumscripsimus, incidere non possunt, adhibendae omnino non fuerunt.*

Cicero Tuscul. disput. V 85. *Hae sunt sententiae, quae stabilitatis aliquid habeant; nam Aristonis, Pyrrhonis, Erilli nonnullorumque aliorum evanuerunt.*

Cicero de officiis I 6. *quoniam Aristonis, Pyrrhonis, Erilli iam pridem explosa sententia est; qui tamen haberent ius suum disputandi de officio, si rerum aliquem dilectum reliquissent, ut ad officii inventionem aditus esset.*

**364** Cicero de fin. II 43. *Quae (scil. prima naturae) quod Aristoni et Pyrrhoni omnino visa sunt pro nihilo, ut inter optime valere et gravissime aegrotare nihil prorsus dicerent interesse, recte iam pridem contra eos desitum est disputari. Dum enim in una virtute sic omnia esse voluerunt, ut eam rerum selectione exspoliarent nec ei quicquam aut unde oreretur darent, aut ubi niteretur, virtutem ipsam, quam amplexabantur, sustulerunt.*

Cf. III 11 et 12.

IV 47. *ut Aristonis esset explosa sententia dicentis nihil differre aliud ab alio, nec esse res ullas praeter virtutes et vitia, inter quas quicquam omnino interesset.*

V 23. *ii — qui in rebus iis, in quibus nihil aut honestum aut turpe sit, negant esse ullam causam, cur aliud alii anteponatur, nec inter eas res quicquam omnino putant interesse.*

**365** Cicero de finibus III 15,50. *Deinceps explicatur differentia rerum: quam si non ullam esse diceremus, confunderetur omnis vita, ut ab Aristone, neque ullum sapientiae munus aut opus inveniretur, cum inter res eas, quae ad vitam degendam pertinerent, nihil omnino interesset neque ullum delectum adhiberi oporteret.*

**366** Cicero de finibus V 73. *Multa dicta sunt ab antiquis de contemnendis ac despiciendis rebus humanis; hoc unum Aristo tenuit: praeter vitia atque virtutes negavit rem esse ullam aut fugiendam aut expetendam.*

**367** Cicero de legibus I 38. *sive etiam Aristonis difficilem atque arduam, sed iam tamen fractam et convictam sectam secuti sunt, ut virtutibus exceptis atque vitiis cetera in summa aequalitate ponerent.* — 55. *si, ut Chius Aristo dixit solum bonum esse, quod honestum esset, malumque, quod turpe, ceteras res omnis plane paris ac ne minimum quidem, utrum adessent an abessent, interesse etc.*

---

10 quod *Madvig*, cum *libri*. 21 nihil quod non aut *libri*, quod non *del. Lambin.*

**368** Cicero de finibus IV 79. *Roges enim Aristonem, bonane ei videantur haec: vacuitas doloris, divitiae, valetudo; neget. Quid? quae contraria sunt his, malane? Nihilo magis. — Admirantes quaeramus — quonam modo vitam agere possimus, si nihil interesse nostra putemus, valeamus aegrine simus, vacemus an cruciemur dolore, frigus, famem propulsare possimus necne possimus. „Vives, inquit Aristo, magnifice atque praeclare, quod erit cumque visum, ages, numquam angere, numquam cupies, numquam timebis."*

**369** Cicero de finibus IV 43. *Itaque mihi videntur omnes quidem illi errasse, qui finem bonorum esse dixerunt honeste vivere, sed alius alio magis, Pyrrho scilicet maxime — deinde Aristo, qui nihil relinquere (scil. quod praeter virtutem appetendum esset) non est ausus, introduxit autem, quibus commotus sapiens appeteret aliquid, quodcumque in mentem incideret et quodcumque tamquam occurreret. Is hoc melior quam Pyrrho, quod aliquod genus appetendi dedit, deterior quam ceteri, quod penitus a natura recessit.*

**370** Clemens Alex. Stromat. II 20 p. 195 Sylb., Vol. I p. 486 Pott. ὅθεν, ὡς ἔλεγεν Ἀρίστων, πρὸς ὅλον τὸ τετράχορδον, ἡδονὴν λύπην φόβον ἐπιθυμίαν, πολλῆς δεῖ τῆς ἀσκήσεως καὶ μάχης.

**371** Plutarchus de exilio 5 p. 600e. οἷόν ἐστιν ἡ νῦν σοι παροῦσα μετάστασις ἐκ τῆς νομιζομένης πατρίδος. φύσει γὰρ οὐκ ἔστι πατρίς, ὥσπερ οὐδ' οἶκος οὐδ' ἀγρὸς οὐδὲ χαλκεῖον, ὡς Ἀρίστων ἔλεγεν, οὐδ' ἰατρεῖον· ἀλλὰ γίγνεται, μᾶλλον δ' ὀνομάζεται καὶ καλεῖται τούτων ἕκαστον ἀεὶ πρὸς τὸν οἰκοῦντα καὶ χρώμενον.

**372** Seneca epist. 115, 8. *Tunc intellegere nobis licebit, quam contemnenda miremur, simillimi pueris, quibus omne ludicrum in pretio est; parentibus quippe nec minus fratribus praeferunt parvo aere empta monilia. quid ergo inter nos et illos interest, ut Ariston ait, nisi quod nos circa tabulas et statuas insanimus, carius inepti? illos reperti in litore calculi leves et aliquid habentes varietatis delectant, nos ingentium maculae columnarum etc.*

**373** Plutarchus de Stoic. repugn. 8 p. 1034d. Χρύσιππος Ἀρίστωνι μὲν ἐγκαλῶν ὅτι μιᾶς ἀρετῆς σχέσεις ἔλεγε τὰς ἄλλας εἶναι.

**374** Galenus de Hipp. et Plat. decr. VII 2 (208. 591 M.). νομίσας γοῦν ὁ Ἀρίστων μίαν εἶναι τῆς ψυχῆς δύναμιν, ᾗ λογιζόμεθα, καὶ τὴν ἀρετὴν τῆς ψυχῆς ἔθετο μίαν, ἐπιστήμην ἀγαθῶν καὶ κακῶν. ὅταν μὲν οὖν αἱρεῖσθαί τε δέῃ τἀγαθὰ καὶ φεύγειν τὰ κακά, τὴν ἐπιστήμην τήνδε καλεῖ σωφροσύνην· ὅταν δὲ πράττειν μὲν τἀγαθά, μὴ πράτ-

---

13 quodcunque in *Manutius*, quod cuique in *libri*. Cf. ἐπελεύσεις illas, contra quas disputat Chrysippus Vol. II n. 973 (p. 282).

τειν δὲ τὰ κακά, φρόνησιν· ἀνδρείαν δὲ ὅταν τὰ μὲν θαῤῥῇ, τὰ δὲ φεύγῃ. ὅταν δὲ τὸ κατὰ ἀξίαν ἑκάστῳ νέμῃ, δικαιοσύνην. ἑνὶ δὲ λόγῳ γινώσκουσα μὲν ἡ ψυχὴ χωρὶς τοῦ πράττειν τἀγαθά τε καὶ κακὰ σοφία τέ ἐστι καὶ ἐπιστήμη, πρὸς δὲ τὰς πράξεις ἀφικνουμένη τὰς κατὰ τὸν βίον ὀνόματα πλείω λαμβάνει τὰ προειρημένα, φρόνησίς τε καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ἀνδρεία καλουμένη. τοιαύτη μέν τις ἡ Ἀρίστωνος δόξα περὶ τῶν τῆς ψυχῆς ἀρετῶν.

**375** Plutarchus de virtute morali 2 p. 440f. Ἀρίστων δ' ὁ Χῖος τῇ μὲν οὐσίᾳ μίαν καὶ αὐτὸς ἀρετὴν ἐποίει καὶ ὑγίειαν ὠνόμαζε· τῷ δὲ πρὸς τί πως διαφόρους καὶ πλείονας, ὡς εἴ τις ἐθέλοι τὴν ὅρασιν ἡμῶν λευκῶν μὲν ἀντιλαμβανομένην λευκοθέαν καλεῖν, μελάνων δὲ μελανθέαν ἤ τι τοιοῦτον ἕτερον. καὶ γὰρ ἡ ἀρετὴ ποιητέα μὲν ἐπισκοποῦσα καὶ μὴ ποιητέα κέκληται φρόνησις, ἐπιθυμίαν δὲ κοσμοῦσα καὶ τὸ μέτριον καὶ τὸ εὔκαιρον ἐν ἡδοναῖς ὁρίζουσα σωφροσύνη, κοινωνήμασι δὲ καὶ συμβολαίοις ὁμιλοῦσα τοῖς πρὸς ἑτέρους δικαιοσύνη· καθάπερ τὸ μαχαίριον ἓν μέν ἐστιν, ἄλλοτε δ' ἄλλο διαιρεῖ, καὶ τὸ πῦρ ἐνεργεῖ περὶ ὕλας διαφόρους μιᾷ φύσει χρώμενον.

**376** Clemens Al. Strom. I p. 376 Pott. Εἰ γοῦν σκοποῖμεν, μία κατὰ δύναμίν ἐστιν ἡ ἀρετή· ταύτην δὲ συμβέβηκεν τούτοις μὲν τοῖς πράγμασιν ἐγγενομένην λέγεσθαι φρόνησιν· ἐν τούτοις δὲ σωφροσύνην· ἐν τούτοις δὲ ἀνδρείαν ἢ δικαιοσύνην. — — τοῦτον φαμὲν τὸν τρόπον μιᾶς καὶ τῆς αὐτῆς δραχμῆς τῷ μὲν ναυκλήρῳ δοθείσης λέγεσθαι ναῦλον· τῷ δὲ τελώνῃ τέλος· καὶ ἐνοίκιον μὲν τῷ σταθμούχῳ· μισθὸν δὲ τῷ διδασκάλῳ· καὶ τῷ πιπράσκοντι ἀῤῥαβῶνα. Ἑκάστη δὲ — ἀρετὴ — συνωνύμως καλουμένη μόνου τοῦ καθ' ἑαυτὴν ἀποτελέσματός ἐστιν αἰτία· κατὰ σύγχρησιν δὲ τούτων γίγνεται τὸ εὐδαιμόνως ζῆν· μὴ γὰρ δὴ εὐδαιμονῶμεν πρὸς τὰ ὀνόματα, ὅταν τὸν ὀρθὸν βίον εὐδαιμονίαν λέγωμεν καὶ εὐδαίμονα τὸν κεκοσμημένον τὴν ψυχὴν ἐναρέτως.

**377** Porphyrius de animae facultatibus apud Stobaeum ecl. I p. 347,21 W. τὰς τῆς ψυχῆς δυνάμεις ὑπογράψαι πρόκειται· καὶ πρότερόν γε ἐπεξελθὼν τῇ ἱστορίᾳ τῇ τε παρὰ τοῖς παλαιοῖς καὶ τῇ ὕστερον ἐπικριθείσῃ παρὰ τοῖς διδασκάλοις, Ἀρίστων ἀντιληπτικὴν δύναμιν τῆς ψυχῆς θέμενος ταύτην διαιρεῖ εἰς δύο, τὸ μέν τι μέρος φάσκων μετά τινος τῶν αἰσθητηρίων ὡς τὰ πολλὰ κινεῖσθαι, ὃ αἰσθητικὸν καλεῖ, ἀρχὴν καὶ πηγὴν ὑπάρχον τῶν κατὰ μέρος αἰσθήσεων, τὸ δὲ ἀεὶ καθ' ἑαυτὸ καὶ χωρὶς ὀργάνων, ὃ ἐπὶ μὲν τῶν ἀλόγων οὐκ ὠνομάσθαι (ἢ γὰρ ὅλως οὐκ εἶναι ἐν αὐτοῖς ἢ τελέως ἀσθενὲς καὶ

---

33 nihil mutandum est. 37 ἀλόγων Heeren, ἄλλων FP. 38 ὠνομάσθαι Heeren, ὠνόμασται FP.

*ἀμυδρὸν ἄγαν), ἐν δὲ τοῖς λογικοῖς, ἐν οἷς δὴ μάλιστα ⟨ἢ⟩ μόνοις φαίνεται, νοῦν προσαγορεύεσθαι.*

**378** Cicero de nat. deor. I 37. *cuius (scil. Zenonis) discipuli* A r i s t o n i s *non minus magno in errore sententiast, qui neque formam dei intellegi posse censeat neque in deis sensum esse dicat dubitetque omnino, deus animans necne sit.*

**379** Jamblichus de anima apud Stobaeum ecl. II 382, 18 W. *περὶ τῆς κοινωνίας τῆς πρὸς τοὺς θεοὺς τῶν ψυχῶν γέγονέ τις διαμφισβήτησις, τῶν μὲν λεγόντων ἀδύνατον μίγνυσθαι θεοὺς ταῖς κατεχομέναις ψυχαῖς ἐν τῷ σώματι, τῶν δὲ διατεινομένων μίαν εἶναι κοινὴν πολιτείαν τῶν καθαρῶν ψυχῶν πρὸς τοὺς θεοὺς καὶ εἰ ὅτι μάλιστα ἐν τοῖς σώμασι διατρίβουσιν· οἳ δὲ μόνοις δαίμοσιν ἢ καὶ ἥρωσιν ὑποτιθέασιν αὐτὴν εἰς κοινὴν συνουσίαν· ⟨ὧν⟩ ἄλλοι μὲν οἱ βελτίονες, κρινόμενοι κατὰ Πλάτωνα καθάρσει καὶ ἀναγωγῇ καὶ τελειώσει τῆς ψυχῆς, ἄλλοι δὲ οἱ χείρονες, τοῖς ἐναντίοις τούτων διαστελλόμενοι· κατὰ δὲ τοὺς Στωϊκοὺς τῇ κοινωνίᾳ καὶ τῷ καλῷ τῷ τῆς φύσεως ἐξηρτημένῳ· κατὰ δὲ τοὺς Περιπατητικοὺς τῇ κατὰ φύσιν τε συμμετρίᾳ καὶ τῇ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν νοερᾷ ζωῇ προτιμώμενοι· κατὰ δὲ Ἥριλλον ἐπιστήμῃ· κατὰ δὲ Ἀρίστωνα ἀδιαφορίᾳ· κατὰ δὲ Δημόκριτον εὐσχημοσύνῃ· κατὰ δὲ τοὺς ἄλλους μέρει τινὶ τοῦ καλοῦ· ἢ τῇ ἀοχλησίᾳ καθ' Ἱερώνυμον· ἢ ἄλλοις τισὶ τρόποις διαγωγῆς τὸ αἱρετὸν ἔχοντες, ἀφ' ὧν οἱ κατὰ μέρος φύονται βίοι ἄπειροι περὶ τὴν γένεσιν διαιρούμενοι* etc.

**380** Plutarchus vita Demosthenis 30 (de morte Demosthenis). *τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησιν αὐτόν, ὡς εἴρηται.*

**381** Plutarchus vita Demosthenis 10. *Ἀρίστων δ' ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. ἐρωτηθέντα γάρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν· „ἄξιος τῆς πόλεως", ὁποῖος δὲ Δημάδης· „ὑπὲρ τὴν πόλιν". Ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένην, δυνατώτατον δὲ εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν.*

**382** Plutarchus *ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι* 1 p. 776c. *καὶ Ἀρίστων μὲν ὁ Χῖος ἐπὶ τῷ πᾶσι δια-*

---

1 *ἢ* add. Heeren. 2 *νοῦν φαίνεται* (hoc. ord.) libri, transpos. Heeren. 12 post *διατρίβουσιν* clausula in P. 13 *αὐτὴν* FP, *αὐτὰς* Wachsm. ‖ post *συνουσίαν* clausula in F; novam hinc eclogam constituit Wachsm. *ὧν* ego supplevi. 15 *ἐναντίως* FP, corr. Wachsm. 22 *ἔχοντες* vix sanum (Wachsm.).

λέγεσθαι τοῖς βουλομένοις ὑπὸ τῶν σοφιστῶν κακῶς ἀκούων· „ὤφελεν, εἶπε, καὶ τὰ θηρία λόγων συνιέναι κινητικῶν πρὸς ἀρετήν."

**383** Stobaeus Florileg. 13, 40 Vol. I p. 462 Hense (13, 22 Mein.). Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Ὅμοιον ἀψινθίου τὸ δριμὺ καὶ λόγου παῤῥησίαν ἐκκόψαι.

**384** Stobaeus Florileg. 13, 57 Vol. I p. 465 Hense (13, 39 Mein.). Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Φήσαντός τινος „λίαν μοι ἐπισκώπτεις" ἔφη „καὶ γὰρ τοῖς σπληνικοῖς τὰ μὲν δριμέα καὶ πικρὰ ὠφέλιμα, τὰ δὲ γλυκέα βλαβερά."

**385** Plutarchus de recta ratione audiendi 8 p. 42b. οὔτε γὰρ βαλανείου, φησὶν ὁ Ἀρίστων, οὔτε λόγου μὴ καθαίροντος ὄφελός ἐστιν.

**386** Stobaeus Florileg. 79, 44 Mein. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Οἱ ἄρτι ἐκ φιλοσοφίας, πάντας ἐλέγχοντες καὶ ἀπὸ τῶν γονέων ἀρχόμενοι, πάσχουσιν ὅπερ καὶ οἱ νεώνητοι κύνες, οἳ οὐ μόνον τοὺς ἄλλους ὑλακτοῦσιν, ἀλλὰ καὶ τοὺς ἔνδον.

**387** Stobaeus ecl. II p. 215, 20 W. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Τὸ κύμινον, φασί, δεῖ σπείρειν βλασφημοῦντας, οὕτω γὰρ καλὸν φύεσθαι· καὶ τοὺς νέους χρὴ παιδεύειν ἐπισκώπτοντας, οὕτω γὰρ χρήσιμοι ἔσονται.

**388** Seneca epist. 36, 3. *Ariston aiebat malle* <*se*> *adulescentem tristem quam hilarem et amabilem turbae. vinum enim bonum fieri, quod recens durum et asperum visum est; non pati aetatem, quod in dolio placuit.*

**389** Plutarchus de tuenda sanitate praecepta 20 p. 133c. ἀλειπτῶν δὲ φωνὰς καὶ παιδοτριβῶν λόγους, ἑκάστοτε λεγόντων ὡς τὸ παρὰ δεῖπνον φιλολογεῖν τὴν τροφὴν διαφθείρει καὶ βαρύνει τὴν κεφαλήν, τότε φοβητέον, ὅταν τὸν Ἰνδὸν ἀναλύειν ἢ διαλέγεσθαι περὶ τοῦ Κυριεύοντος ἐν δείπνῳ μέλλωμεν. — — ἂν δ' ἡμᾶς μὴ ἄλλο τι ζητεῖν ἢ φιλοσοφεῖν ἢ ἀναγιγνώσκειν παρὰ δεῖπνον ἐῶσι τῶν ἐν τῷ καλῷ καὶ ὠφελίμῳ τὸ ἐπαγωγὸν ὑφ' ἡδονῆς καὶ γλυκὺ μόριον ἐχόντων, κελεύσομεν αὐτοὺς μὴ ἐνοχλεῖν, ἀλλ' ἀπιόντας ἐν τῷ ξυστῷ ταῦτα καὶ ταῖς παλαίστραις διαλέγεσθαι τοῖς ἀθληταῖς, οὓς τῶν βιβλίων ἐξελόντες ἀεὶ διημερεύειν ἐν σκώμμασι καὶ βωμολοχίαις ἐθίζοντες, ὡς ὁ κομψὸς Ἀρίστων ἔλεγε, τοῖς ἐν γυμνασίῳ κίοσιν ὁμοίως λιπαροὺς πεποιήκασι καὶ λιθίνους.

**390** Plutarchus Amatorius 21 p. 766f. ὅταν ἦθος ἁγνὸν καὶ

---

5 τὴν παῤῥησίαν concinnius Max. 31 p. 620 Combef. 14 οἱ ἄρτι ἐκ φιλοσοφίας i. e. adulescentes cum ex schola philosophi domum redierunt. 29 fortasse μηδ'.

κόσμιον ἐν ὥρᾳ καὶ χάριτι μορφῆς διαφανὲς γένηται, καθάπερ ὄρθιον ὑπόδημα δείκνυσι ποδὸς εὐφυΐαν, ὡς Ἀρίστων ἔλεγεν.

**391** Stobaeus ecl. II p. 24, 8 W. Ἀρίστωνος. Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν εἴκαζεν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν οὐδὲν μὲν χρησίμοις, λίαν δὲ τεχνικοῖς ⟨οὖσι⟩.

**392** Stobaeus ecl. II p. 22, 22 W. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων· οἱ ἐν διαλεκτικῇ βαθύνοντες ἐοίκασι καρκίνους μασωμένοις, οἳ δι᾽ ὀλίγον τρόφιμον περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται.

**393** Stobaeus ecl. II p. 23, 15 W. Ἀρίστωνος. Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ᾽ ἐκεῖνον χρήσιμον ὄντα καταβάλλειν τοὺς βαδίζοντας.

**394** Stobaeus ecl. II 24, 12 W. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. ὁ ἐλλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς καθαίρει, εἰς δὲ πάνυ σμικρὰ τριφθεὶς πνίγει· οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.

**395** Stobaeus Florileg. 20, 69 (Vol. I p, 554 Hense). Ἀρίστωνος· τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα· ὥστε ἡ μήτηρ οὐκ ἀστεία.

**396** Stobaeus ecl. II p. 218, 7 W. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. Κυβερνήτης μὲν οὔτε ἐν μεγάλῳ πλοίῳ οὔτε ἐν μικρῷ ναυτιάσει, οἱ δὲ ἄπειροι ἐν ἀμφοῖν· οὕτως ὁ μὲν πεπαιδευμένος καὶ ἐν πλούτῳ καὶ ἐν πενίᾳ οὐ ταράττεται, ὁ δ᾽ ἀπαίδευτος ἐν ἀμφοῖν.

**397** Stobaeus Florileg. 94, 15 Mein. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. ὡς τὸν αὐτὸν οἶνον πίνοντες οἱ μὲν παροινοῦσιν, οἱ δὲ πραΰνονται, οὕτω καὶ πλοῦτον .....

**398** Plutarchus vita Catonis 18. πλούτου γὰρ ἀφαίρεσιν οἱ πολλοὶ νομίζουσι τὴν κώλυσιν αὐτοῦ τῆς ἐπιδείξεως, ἐπιδείκνυσθαι δὲ τοῖς περιττοῖς, οὐ τοῖς ἀναγκαίοις. ὃ δὴ καὶ μάλιστά φασι τὸν φιλόσοφον Ἀρίστωνα θαυμάζειν, ὅτι τοὺς τὰ περιττὰ κεκτημένους μᾶλλον ἡγοῦνται μακαρίους ἢ τοὺς τῶν ἀναγκαίων καὶ χρησίμων εὐποροῦντας.

**399** Stobaeus Florileg. 119, 18 Mein. Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων. πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι. καὶ γὰρ οἱ ὀψὲ γήμαντες φιλοζωοῦσιν, ἵν᾽ ἐκθρέψωσι τὰ τέκνα, καὶ οὗτοι ὀψὲ ἀρετῆς ἐπήβολοι γενόμενοι ἐφίενται αὐτὴν ἐκθρέψαι.

**400** Stobaeus Florileg. 67, 16 (Mein.). Ἐκ τῶν Ἀρίστωνος· Σπαρτιατῶν νόμος τάττει ζημίας τὴν μὲν πρώτην ἀγαμίου, τὴν δευτέραν ὀψιγαμίου, τὴν τρίτην καὶ μεγίστην κακογαμίου.

**401** Plutarchus de curiositate 4 p. 516f. καίτοι καὶ τῶν ἀνέμων

---

5 χρησίμοις Usener, χρησίμους libri. ‖ τεχνικοῖς οὖσι scripsi, τεχνικούς libri. Cf. vitam Aristonis Laërtianam n. 351. 16 ὡς τέ⟨κνα⟩ Buecheler. 17 ἀστεῖα libri.

*μάλιστα δυσχεραίνομεν, ὡς Ἀρίστων φησίν, ὅσοι τὰς περιβολὰς ἀναστέλλουσιν ἡμῶν. ὁ δὲ πολυπράγμων οὐ τὰ ἱμάτια τῶν πέλας οὐδὲ τοὺς χιτῶνας, ἀλλὰ τοὺς τοίχους ἀπαμφιέννυσι, τὰς θύρας ἀναπετάννυσι* etc.

**402** Plutarchus *πολιτικὰ παραγγέλματα* 10 p. 804e. *οὔτε γὰρ πῦρ φησιν ὁ Ἀρίστων καπνὸν ποιεῖν οὔτε δόξαν φθόνον, ἢν εὐθὺς ἐκλάμψῃ καὶ ταχέως, ἀλλὰ τῶν κατὰ μικρὸν αὐξανομένων καὶ σχολαίως ἄλλον ἀλλαχόθεν ἐπιλαμβάνεσθαι.*

**403** Plutarchus aqua an ignis utilior 12 p. 958d. *καὶ μὴν ὀλίγου χρόνου καὶ βίου τοῖς ἀνθρώποις δεδομένου ὁ μὲν Ἀρίστων φησὶν ὅτι ὁ ὕπνος οἷον τελώνης τὸ ἥμισυ ἀφαιρεῖ τούτου· ἐγὼ δ'* etc.

---

# 1a. Apollophanes.

**404** Diogenes Laërt. VII 140. *φησὶ δὲ περὶ τοῦ κενοῦ Χρύσιππος μὲν ἐν τῷ περὶ κενοῦ καὶ ἐν τῇ πρώτῃ τῶν φυσικῶν τεχνῶν καὶ Ἀπολλοφάνης ἐν τῇ φυσικῇ* (placitum vide Chrys. II n. 543).

**405** Tertullianus de anima 14. *Dividitur autem in partes (scil. anima) nunc in duas a Platone — — etiam in octo penes Chrysippum, etiam in novem penes Apollophanem.*

**406** Diogenes Laërt. VII 92. *ὁ μὲν γὰρ Ἀπολλοφάνης μίαν λέγει* (scil. *ἀρετήν*), *τὴν φρόνησιν.*

**407** Fragmenta Herculanensia ed. Scott p. 271 (Pap. 19—698 Scriptor incertus *περὶ αἰσθήσεως* col. 15) — — *χρόνοις, τὴν δ' αἴσθη|σιν τὰ καθ' ἕνα κ(ρι)νεῖν | ἢ μνήμης μεθέξειν. (ὁ δ') | Ἀπολλοφάνης, ὑπὸ τοῦ | πιθανοῦ ἀπατηθείς, τὸ | μὲν καὶ μνήμην αὐ|ταῖς περιάπτειν κατη|δέσθη, τὸ δ' ἀναλογίας | μετέχειν προσ(ε)δέξα|το, ὅπως καὶ τοῦ μηκέ|τ' ὄντος ἀποδῷ διαίσ|θησιν αὐτ(αῖς, ὥ)σπερ ἵνα| σώσωμεν ἐνάργειαν | ἄλλας δέον ἐπιβάλλειν | ἐναργείας.*

**408** Athenaeus VII 281d. *καὶ Ἀπολλοφάνης δὲ (γνώριμος δ' ἦν καὶ οὗτος τοῦ Ἀρίστωνος) ἐν τῷ Ἀρίστωνι, καὶ αὐτὸς οὕτως ἐπιγράψας τὸ σύγγραμμα, ἐμφανίζει τὴν τοῦ διδασκάλου φιληδονίαν.*

---

2 quae de curioso dicuntur, Plutarchi sunt, non Aristonis. 23 *καὶ* pro *ἢ* exspectaveris. 27 fortasse: *ἐκβάλλειν*.

## 2. Herillus Carthaginiensis.

**409** Diogenes Laërt. VII 165. Ἥριλλος δὲ ὁ Καρχηδόνιος (secuntur placita). ἔστι δὲ τὰ βιβλία αὐτοῦ ὀλιγόστιχα μέν, δυνάμεως δὲ μεστὰ καὶ περιέχοντα ἀντιῤῥήσεις πρὸς Ζήνωνα.

λέγεται δὲ ὅτι παιδὸς ὄντος αὐτοῦ ἠράσθησαν ἱκανοί, οὓς ἀποτρέψαι βουλόμενος ὁ Ζήνων ἠνάγκασε ξυρᾶσθαι Ἥριλλον, οἱ δὲ ἀπετράποντο.

τὰ δὲ βιβλία ἐστὶ τάδε·
περὶ ἀσκήσεως·
περὶ παθῶν·
περὶ ὑπολήψεως·
νομοθέτης·
μαιευτικός·
ἀντιφέρων·
διδάσκαλος·
διασκευάζων·
εὐθύνων·
Ἑρμῆς·
Μήδεια·
διάλογοι·
θέσεων ἠθικῶν.

**410** Ind. Stoic. Herc. col. XXXVI. (Ἥ)ριλλο(ς) δ', ὥ(ς) φη(σιν Ἀ)|πολλ(ών)ιος, (ἐπισῆ) | μότα(τ)ο(ς . . .

**411** Diogenes Laërt. VII 165. Ἥριλλος δὲ ὁ Καρχηδόνιος τέλος εἶπε τὴν ἐπιστήμην, ὅπερ ἐστὶ ζῆν ἀεὶ πάντα ἀναφέροντα πρὸς τὸ μετ' ἐπιστήμης ζῆν καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον. εἶναι δὲ τὴν ἐπιστήμην ἕξιν ἐν φαντασιῶν προσδέξει ἀνυπόπτωτον ὑπὸ λόγου. ποτὲ δὲ ἔλεγε μηδὲν εἶναι τέλος, ἀλλὰ κατὰ τὰς περιστάσεις καὶ τὰ πράγματα ἀλλάττεσθαι αὐτό, ὡς καὶ τὸν αὐτὸν χαλκὸν ἢ Ἀλεξάνδρου γινόμενον ἀνδριάντα ἢ Σωκράτους. διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα· τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ μόνον τὸν σοφόν. τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα εἶναι.

**412** Cicero de finibus IV 40. *Introduci enim virtus nullo modo potest, nisi omnia, quae leget quaeque reiciet, unam referentur ad summam. Nam si omnino ⟨ea⟩ nos neglegemus, in Aristonea vitia incidemus et peccata obliviscemurque, quae virtuti ipsi principia dederimus;*

---

2 χαλκηδόνιος PL. 3 αὐτοῦ τὰ βιβλία (hoc ord.) PL. 19 μίδια B. 27 πρὸς δεξιὰν ὑπόπτωτον BL. ‖ λόγων B¹PL. 30 καὶ pro ἢ B, ἢ in litura P³. 35 *ea* add. Baiter.

*sin ea non neglegemus neque tamen ad finem summi boni referemus, non multum ab Erilli levitate aberrabimus. Duarum enim vitarum nobis erunt instituta capienda. Facit enim ille duo seiuncta ultima bonorum, quae ut essent vera, coniungi debuerunt; nunc ita separantur, ut diiuncta sint, quo nihil potest esse perversius.*

**413** Cicero Acad. Pr. II 129. *Omitto illa, quae relicta iam videntur, Erillum, qui in cognitione et scientia summum bonum ponit; qui cum Zenonis auditor esset, vides quantum ab eo dissenserit et quam non multum a Platone.*

**414** Cicero de fin. II 43. *Erillus autem ad scientiam omnia revocans unum quoddam bonum vidit, sed nec optimum, nec quo vita gubernari possit. Itaque hic ipse iam pridem est reiectus; post enim Chrysippum non sane est disputatum.*

Cicero de oratore III 62. *fuerunt etiam alia genera philosophorum, qui se omnes fere Socraticos esse dicebant, Eretricorum, Erilliorum, Megaricorum, Pyrrhoneorum. sed ea horum vi et disputationibus sunt iam diu fracta et exstincta.*

**415** Cicero de finibus III 9, 31. *Sed sunt tamen perabsurdi et ii qui cum scientia vivere ultimum bonorum, et qui nullam rerum differentiam esse dixerunt atque ita sapientem beatum fore, nihil aliud alii ullo momento anteponentem (Herillus et Aristo).*

**416** Cicero de finibus IV 36. *aut ipsius animi, ut fecit Erillus, cognitionem amplexarentur, actionem relinquerent.*

**417** Cicero de finibus V 23. *et Erillus, si ita sensit, nihil esse bonum praeter scientiam, omnem consilii capiendi causam inventionemque officii sustulit.*

ibid. V 73. *hoc uno captus Erillus scientiam summum bonum esse defendit nec rem ullam aliam per se expetendam.*

**418** Cicero de officiis I 6. *quoniam Aristonis, Pyrrhonis, Erilli iam pridem explosa sententia est; qui tamen haberent ius suum disputandi de officio, si rerum aliquem dilectum reliquissent, ut ad officii inventionem aditus esset.*

**419** Clemens Alex. Stromat. II p. 179 Sylb., Vol. I p. 497 Pott. ἢ τὰ Ἡρίλλου εἰς μέσον παράγοιμι; τὸ κατ' ἐπιστήμην ζῆν τέλος εἶναι τίθησιν Ἥριλλος.

**420** Jamblichus de anima apud Stobaeum ecl. II 382,18 W. (τῶν δαιμόνων) ἄλλοι μὲν οἱ βελτίονες, κρινόμενοι κατὰ Πλάτωνα καθάρσει καὶ ἀναγωγῇ καὶ τελειώσει τῆς ψυχῆς, ἄλλοι δὲ οἱ χείρονες, τοῖς ἐναντίοις τούτων διαστελλόμενοι· κατὰ δὲ τοὺς Στωϊκοὺς τῇ κοινωνίᾳ

37 Cf. Aristo n. 379.

*καὶ τῷ καλῷ τῷ τῆς φύσεως ἐξηρτημένῳ· — — κατὰ δὲ Ἥριλλον ἐπιστήμη.*

**421** Lactantius instit. div. III 7. *Herilli summum bonum est scientia, Zenonis cum natura congruenter vivere, quorundam Stoicorum virtutem sequi.*

---

## 3. Dionysius Heracleota
### qui vocatur ὁ Μεταθέμενος.

**422** Diogenes Laërt. VII 166. *Διονύσιος δὲ ὁ Μεταθέμενος τέλος εἶπε τὴν ἡδονὴν διὰ περίστασιν ὀφθαλμίας· ἀλγήσας γὰρ ἐπιπόνως ὤκνησεν εἰπεῖν τὸν πόνον ἀδιάφορον. ἦν δὲ παῖς μὲν Θεοφάντου, πόλεως δὲ Ἡρακλείας. ἤκουσε δέ, καθά φησι Διοκλῆς, πρῶτον μὲν Ἡρακλείδου τοῦ πολίτου, ἔπειτα Ἀλεξίνου καὶ Μενεδήμου, τελευταῖον δὲ Ζήνωνος. καὶ κατ' ἀρχὰς μὲν φιλογράμματος ὢν παντοδαποῖς ἐπεχείρει ποιήμασιν, ἔπειτα δὲ καὶ Ἄρατον ἀπεδέχετο, ζηλῶν αὐτόν. ἀποστὰς δὲ τοῦ Ζήνωνος πρὸς τοὺς Κυρηναϊκοὺς ἀπετράπη καὶ εἴς τε τὰ χαμαιτυπεῖα εἰσῄει καὶ τἄλλα ἀπαρακαλύπτως ἡδυπάθει. βιοὺς δὲ πρὸς τὰ ὀγδοήκοντα ἀσιτίᾳ κατέστρεψε. Βιβλία δὲ αὐτοῦ φέρεται τάδε·*

*περὶ ἀπαθείας β'* (n. 434)·
*περὶ ἀσκήσεως β'·*
*περὶ ἡδονῆς δ'·*
*περὶ πλούτου καὶ χάριτος καὶ τιμωρίας·*
*περὶ ἀνθρώπων χρήσεως·*
*περὶ εὐτυχίας·*
*περὶ ἀρχαίων βασιλέων·*
*περὶ τῶν ἐπαινουμένων·*
*περὶ βαρβαρικῶν ἐθῶν.*

**423** Diogenes Laërt. VII 23 (de Zenone). *Διονυσίου δὲ τοῦ Μεταθεμένου εἰπόντος αὐτῷ, διὰ τί αὐτὸν μόνον οὐ κατορθοῖ, ἔφη „οὐ γάρ σοι πιστεύω."*

**424** Vita Arati: *ἦν δὲ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ ἐσχόλασε Διονυσίῳ τῷ Ἡρακλεώτῃ* etc.

**425** Diogenes Laërt. V 92. *ἔτι καὶ Διονύσιος ὁ Μεταθέμενος (ἢ Σπίνθαρος, ὥς ἔνιοι) γράψας τὸν Παρθενοπαῖον ἐπέγραψε Σοφοκλέους. ὁ δὲ* (scil. Heraclides Ponticus) *πιστεύσας εἴς τι τῶν ἰδίων*

---

22 Duo libri videntur *περὶ πλούτου* et *περὶ χάριτος καὶ τιμωρίας*. 32 Cf. n. 422, 14 *καὶ Ἄρατον ἀπεδέχετο ζηλῶν αὐτόν.*

συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους. αἰσθόμενος δ' ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός· τοῦ δ' ἀρνουμένου καὶ ἀπιστοῦντος ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε Πάγκαλον. οὗτος δ' ἦν ἐρώμενος Διονυσίου. ὡς δ' ἔτι ἀπιστῶν ἔλεγε κατὰ τὴν τύχην ἐνδέχεσθαι οὕτως ἔχειν, πάλιν ἀντεπέστειλεν ὁ Διονύσιος ὅτι „καὶ ταῦτα εὑρήσεις·

Α. Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ.
Β. Ἁλίσκεται μέν· μετὰ χρόνον δ' ἁλίσκεται."

Καὶ πρὸς τούτοις „Ἡρακλείδης γράμματα οὐκ ἐπίσταται." ὁ δ' ᾐσχύνθη.

**426** Ind. Stoic. Herc. col. XXIX. (Δ)ιο(ν)ύ̣σ̣(ιος) | τοίν(υν ὁ *Μεταθέμενος* ...

col. XXX. εἰς) μέσον μεγάλῃ τῇ | φωνῇ, καὶ μάλισθ' ὅτε | σιωπῶντας ἴδοι τοὺς | ἄλλους καὶ διοκνοῦν|τας. Τὸν αὐτὸν δὲ τρό|πον μὴ παυομένων | καὶ ταραχμένων etc.

*Videtur depingi Dionysius acerrimis doloribus cruciatus et fortasse ab amicis, ut se interficiant, magna voce postulans vel alias voces cum philosophia Zenonis pugnantes edens.* Cf. etiam Persaei dictum de Dionysio n. 446.

**427** Ind. Stoic. Herc. col. XXXII. (τὸν) πόνον φευκτὸ(ν | εἶν)αι, τὴν δ' ἡδονὴ(ν | σκο)πὸν καὶ τέλος. Ἐγέ|(ν)ετο δ' οὖν καὶ πολυ|(γ)ράφος, προαγαγὼν | σχεδὸν εἰς τὰς ὀκτὼ | (μυ)ριά(δα)ς. Ἐδόκει τε | (πολ)λοῖς οὔτ' ἄστοχος | (οὔτ' ἀδύν)ατος εἶναι | (κατὰ τ)ὴν λ(έξ)ιν καὶ | ......... τοις συνι.. etc.

**428** Athenaeus X 437 e. Ἀντίγονος δ' ὁ Καρύστιος ἐν τῷ περὶ τοῦ Διονυσίου βίου τοῦ Ἡρακλεώτου τοῦ ἐπικληθέντος Μεταθεμένου φησὶ (p. 126 Wil.) τὸν Διονύσιον τοῖς οἰκέταις συνεορτάζοντα ἐν τῇ τῶν Χοῶν ἑορτῇ καὶ μὴ δυνάμενον διὰ γῆρας χρῆσθαι ᾗ παρειλήφεσαν ἑταίρᾳ ὑποστρέψαντα εἰπεῖν πρὸς τοὺς συνδειπνοῦντας (φ 152)

οὐ δύναμαι τανύσαι, λαβέτω δὲ καὶ ἄλλος.

**429** Ind. Stoic. Herc. col. XXXIII. (τοὺς) φίλο(υ)ς ἀσπ(α)σάμε|νος κα(ὶ) κα(θεὶς) ἑαυτὸν | εἰς τὴν μάκ(τ)ραν ἐτε|λεύτησεν.

*Mors narratur Dionysii Metathemeni.*

**430** Athenaeus VII 281 d. περὶ δὲ Διονυσίου τοῦ Ἡρακλεώτου τί δεῖ καὶ λέγειν; ὃς ἄντικρυς ἀποδὺς τὸν τῆς ἀρετῆς χιτῶνα ἀνθινὰ μετημφιάσατο καὶ Μεταθέμενος καλούμενος ἔχαιρε, καίτοι γηραιὸς ἀποστὰς τῶν τῆς Στοᾶς λόγων καὶ ἐπὶ τὸν Ἐπίκουρον μεταπηδήσας· περὶ οὗ οὐκ ἀχαρίτως ὁ Τίμων ἔφη· (fr. 59 W.)

ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι·
ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

---

9 οὐδ' ᾐσχύνθη vulgo. 20 Intelligitur sine dubio Dionysius Heracleota. 39 παύεσθαι AC.

Lucianus Bis accus. 20. 21: *μέχρι μὲν τῆς νόσου ἤλπιζεν ὠφελήσειν τι αὐτὸν τοὺς περὶ τῆς καρτερίας λόγους, ἐπεὶ δὲ ἤλγησε καὶ ἐνόσησε καὶ ὁ πόνος ἀληθέστερον αὐτοῦ καθίκετο, ἰδὼν τὸ σῶμα τὸ ἑαυτοῦ ἀντιφιλοσοφοῦν τῇ Στοᾷ καὶ τἀναντία δογματίζον, αὐτῷ μᾶλλον ἢ τούτοις ἐπίστευσε* etc.

**431** Cicero de finibus V 94. *Nobis Heracleotes ille Dionysius flagitiose descivisse videtur a Stoicis propter oculorum dolorem. Quasi vero hoc didicisset a Zenone, non dolere, cum doleret! Illud audierat nec tamen didicerat, malum illud non esse, quia turpe non esset, et esse ferendum viro.*

**432** Cicero Tuscul. disput. II 60. — *homo sane levis, Heracleotes Dionysius, cum a Zenone fortis esse didicisset, a dolore dedoctus est. Nam cum ex renibus laboraret, ipso in eiulatu clamitabat falsa esse illa, quae antea de dolore ipse sensisset. Quem cum Cleanthes condiscipulus rogaret, quaenam ratio eum de sententia deduxisset, respondit: „Quia si, cum tantum operae philosophiae dedissem, dolorem tamen ferre non possem, satis esset argumenti malum esse dolorem. Plurimos autem annos in philosophia consumpsi nec ferre possum; malum est igitur dolor."*

**433** Cicero Acad. Pr. II 71. *Dionysius ille Heracleotes utrum comprehendisset — — quod multos annos tenuisset Zenonique magistro credidisset, honestum quod esset, id bonum solum esse, an quod postea defensitavisset, honesti inane nomen esse, voluptatem esse summum bonum.*

**434** Cicero Tuscul. disp. III 18. *Itaque non inscite Heracleotes Dionysius ad ea disputat, quae apud Homerum Achilles queritur hoc, ut opinor modo* (*I* 646)

*Corque meum penitus turgescit tristibus iris,*
*Cum decore atque omni me orbatum laude recordor.*

19. *Num manus adfecta recte est, cum in tumore est, aut num aliud quodpiam membrum tumidum ac turgidum non vitiose se habet? Sic igitur inflatus et tumens animus in vitio est. Sapientis autem animus semper vacat vitio, numquam turgescit, numquam tumet; at iratus animus eius modi est; numquam igitur sapiens irascitur. Nam si irascitur, etiam concupiscit; proprium est enim irati cupere, a quo laesus videatur, ei quam maxumum dolorem inurere; qui autem id concupierit, eum necesse est, si id consecutus sit, magno opere laetari, ex quo fit, ut alieno malo gaudeat; quod quoniam non cadit in sapi-*

---

30 aliud quodpiam *Turnebus*, aliquod quippiam *libri*. 35 Ira: cf. Vol. III n. 397 (p. 96, 37) *ὀργή ἐστιν ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος.*
37 Vol. III n. 401 (p. 98, 3) *ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπὶ τοῖς τῶν πέλας ἀτυχήμασιν.*

*entem, ne ut irascatur quidem cadit. Sin autem caderet in sapientem aegritudo, caderet etiam iracundia, qua quoniam vacat, aegritudine etiam vacabit.* 20. *Etenim si sapiens in aegritudinem incidere posset, posset etiam in misericordiam, posset in invidentiam.* 21. *Nam qui dolet rebus alicuius adversis, idem alicuius etiam secundis dolet, ut Theophrastus interitum deplorans Callisthenis, sodalis sui, rebus Alexandri prosperis angitur, itaque dicit Callisthenem incidisse in hominem summa potentia summaque fortuna, sed ignarum, quem ad modum rebus secundis uti conveniret. Atqui quem ad modum misericordia aegritudo est ex alterius rebus adversis, sic invidentia aegritudo est ex alterius rebus secundis. In quem igitur cadit misereri, in eundem etiam invidere; non cadit autem invidere in sapientem; ergo ne misereri quidem. Quodsi aegre ferre sapiens soleret, misereri etiam soleret. Abest ergo a sapiente aegritudo.*

(Hoc fragmentum e libris *περὶ ἀπαθείας* sumptum videtur)

---

## 4. Persaeus Citieus.

**435** Diogenes Laërt. VII 36. *Μαθηταὶ δὲ Ζήνωνος πολλοὶ μέν, ἔνδοξοι δὲ Περσαῖος Δημητρίου Κιτιεύς, ὃν οἱ μὲν γνώριμον αὐτοῦ, οἱ δὲ οἰκέτην ἕνα τῶν εἰς βιβλιογραφίαν πεμπομένων αὐτῷ παρὰ Ἀντιγόνου, οὗ καὶ τροφεὺς ἦν τοῦ παιδὸς Ἀλκυονέως.*

*διάπειραν δή ποτε βουληθεὶς λαβεῖν αὐτοῦ ὁ Ἀντίγονος ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελθῆναι, ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα. καὶ σκυθρωπάσαντος „Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον."*

*βιβλία δ' αὐτοῦ φέρεται τάδε·*
*περὶ βασιλείας·*
*πολιτεία Λακωνική* n. 454. 455.
*περὶ γάμου·*
*περὶ ἀσεβείας·*
*Θυέστης·*
*περὶ ἐρώτων·*
*προτρεπτικοί·*

---

10 misericordia: cf. Vol. III n. 414 (p. 100, 43) *οἶκτος δὲ λύπη ἐπ' ἀλλοτρίοις κακοῖς* n. 416 (p. 101, 21) *ἔλεος δὲ λύπη ἐπ' ἀλλοτρίοις κακοῖς.* 11 invidentia: cf. Vol. III n. 412 (p. 99, 38) n. 413 (p. 100, 3) n. 414 (p. 100, 16) n. 416 (p. 101, 21) *φθόνος δὲ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς.* 22 *ἀγγελῆναι* BPF.

*διατριβῶν·*
*χρειῶν δ'·*
*ἀπομνημονεύματα·*
*πρὸς τοὺς Πλάτωνος νόμους ζ'.*

**436** Suidas s. v. *Περσαῖος, Κιτιεύς, φιλόσοφος Στωϊκός· ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. Ἱστορίαν.*

**437** Ind. Stoic. Herc. col. XII 3. *μάλ(ι)στα μὲν | οὖν τῶν μαθητῶ(ν) | ὑπὸ τοῦ Ζή(ν)ωνος ἠ|γαπᾶ(τ)ο ὁ Περσ(αῖ)ος, ἀλλὰ | (δ)ὴ κ(αὶ) συνεβίου· καὶ (τέθ)ραπται δ' ὑπ' αὐτοῦ, | (ὡς λέγετ)αι πρὸς ἐνίων | (δοῦλος ὢν) οἰκογενής | ........ Διογένης*

**438** Gellius Noct. Att. II 18, 8. *sed et Theophrasti Peripatetici servus Pompylus et Zenonis Stoici servus, qui* P e r s a e u s *vocatus est — — philosophi non incelebres vixerunt.*

**439** Diogenes Laërt. VII 6. *ἀπεδέχετο δ' αὐτὸν* (scil. *Ζήνωνα*) *καὶ Ἀντίγονος καὶ εἴ ποτε Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ πολλά τε παρεκάλει ἀφικέσθαι ὡς αὐτόν. ὁ δὲ τοῦτο μὲν παρῃτήσατο, Περσαῖον δὲ ἕνα τῶν γνωρίμων ἀπέστειλεν, ὃς ἦν Δημητρίου μὲν υἱός, Κιτιεὺς δὲ τὸ γένος, καὶ ἤκμαζε κατὰ τὴν τριακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γέροντος ὄντος Ζήνωνος.* — 9. *ἀπέστειλε δὲ Περσαῖον καὶ Φιλωνίδην τὸν Θηβαῖον, ὧν ἀμφοτέρων Ἐπίκουρος μνημονεύει ὡς συνόντων Ἀντιγόνῳ ἐν τῇ πρὸς Ἀριστόβουλον τὸν ἀδελφὸν ἐπιστολῇ.* — 13. *σύν τε Περσαίῳ τὴν αὐτὴν οἰκίαν ᾤκει· καὶ αὐτοῦ αὐλητρίδιον εἰσαγαγόντος πρὸς αὐτόν, σπάσας πρὸς τὸν Περσαῖον αὐτὸ ἀπήγαγεν.*

Aelian. Var. Hist. III 17. *ἐγὼ δὲ πολιτείαν φαίην ἂν καὶ τὸ Περσαίου, εἴ γε Ἀντίγονον ἐπαίδευσε.*

**440** Vita Arati: *σχολάσας δὲ ὁ Ἄρατος Περσαίῳ τῷ φιλοσόφῳ Ἀθήνησι καὶ συνελθὼν αὐτῷ εἰς Μακεδονίαν μεταπεμφθέντι ὑπ' Ἀντιγόνου καὶ παρελθὼν εἰς τὸν Ἀντιγόνου καὶ Φίλας γάμον* etc.

**441** Ind. Stoic. Herc. col. XIII. *αἴ)τιο(ν ἐγ)ένετο τούτου | καὶ τὸ χωρισθῆναι Ζή|νωνος ὄντος ἔτι πολ|λο(ῦ σ)ὺν (Ἀ)ντιγόνῳ καὶ | (ἅ)μα περ(ι)πλανᾶσθαι, τὸ(ν) | αὐλικόν, οὐ τὸν φιλό(σ)ο|φον ᾑρημένον βίον· | (ἐ)ξ οὗ καὶ (τῶν ἀν)θρώ|πων αὐ(τῶν καὶ τῶν) | πόλεων ..*
*Ad* P e r s a e u m *haec spectant.*

col. XIV. *Ἀν)τίγονον ἀποδ(η)μή|(σ)αντος αὐτοῦ ..... | καί(πε)ρ Ἀριστ(ο)φῶν|τα παραιτουμένου | συγγνώμην* etc.

---

8 *ἱστορίαν* Paris. A, *ἱστορία* edit. pr. 12 *τέθραπται* et quae secuntur suppl. Buecheler. 33 exspecto *ὄντα γ' ἔτη πολλά*.

*Haec quoque ad Persaeum aliquo modo referri certum est, sed sententia non intelligitur.*

**442** Pausanias II 8,4 (de Arato Sicyonio). *Κόρινθον δὲ ἔχοντος Ἀντιγόνου καὶ φρουρᾶς Μακεδόνων ἐνούσης, τοὺς Μακεδόνας τῷ αἰφνιδίῳ τῆς ἐπιθέσεως κατέπληξε, καὶ ἄλλους τε κρατήσας μάχῃ διέφθειρε καὶ Περσαῖον ἐπὶ τῇ φρουρᾷ τεταγμένον, ὃς παρὰ Ζήνωνα τὸν Μνασέου κατὰ μάθησιν σοφίας ἐφοίτησεν.*

Idem VII 8, 3. *Ἄρατος καὶ Σικυώνιοι φρουρὰν ἐκ τοῦ Ἀκροκορίνθου ἐξήλασαν καὶ ἀπέκτειναν Περσαῖον ὑπὸ Ἀντιγόνου ταχθέντα ἐπὶ τῇ φρουρᾷ.*

**443** Plutarchus vita Arati 18. *Ἀλλὰ γὰρ Ἀντίγονος μέν — κτησάμενος τὸν Ἀκροκόρινθον ἐφύλαττε μετὰ τῶν ἄλλων, οἷς ἐπίστευε μάλιστα, καὶ Περσαῖον ἐπιστήσας ἄρχοντα τὸν φιλόσοφον.*

23. *τῶν δὲ Ἀντιγόνου στρατηγῶν Ἀρχέλαον μὲν ἀφῆκεν — — Περσαῖος δὲ τῆς ἄκρας ἁλισκομένης εἰς Κεγχρεὰς διεξέπεσεν. ὕστερον δὲ λέγεται σχολάζων πρὸς τὸν εἰπόντα μόνον αὐτῷ δοκεῖν στρατηγὸν εἶναι τὸν σοφόν· „ἀλλὰ νὴ θεούς, φάναι, τοῦτο μάλιστα κἀμοί ποτε τῶν Ζήνωνος ἤρεσκε δογμάτων· νῦν δὲ μεταβάλλομαι νουθετηθεὶς ὑπὸ τοῦ Σικυωνίου νεανίσκου.“*

*ταῦτα μὲν περὶ Περσαίου πλείονες ἱστοροῦσιν.*

**444** Polyaenus VI 5. *Ἄρατος ἐκράτησεν Ἀκροκορίνθου φρουρὰν ἔχοντος, ἣν ἐγκατέστησεν Ἀντίγονος φύλακα τάξας ἐπ' αὐτοῦ Περσαῖον τὸν φιλόσοφον καὶ Ἀρχέλαον τὸν στρατηγόν. — — Περσαῖος δὲ ὁ φιλόσοφος τῆς ἄκρας ἁλισκομένης εἰς Κεγχρεὰς διαφυγὼν ἐκεῖθεν πρὸς Ἀντίγονον ᾤχετο.*

**445** Ind. Stoic. Herc. col. XV. *ταύ(τ)α(ι)ς ἀμυ|(νόμ)ενος τοὺς Θρᾷκας | (ἐξέβ)αλεν. Πλειόνων | δ' ἐπεισελθόντων καὶ | πανταχόθεν αὐτῷ | περισ(τ)άντων π(ο)λλὰ | τραύματα λαβὼν . . . . | ϱ̣η . ε . ἑαυτὸν καὶ (τὸν) | βίον ἐξέ(λ)ειπεν. (ἕλε)|ξαν δέ τ(ι)ν(ες ὅτ)ι τ(ῆς χώ)|ρας ἐπὶ πλ(οίου . . . . . . . | π(ϱ)ὸς ἐν . . .*

*narratur Persaeum in expugnatione Acrocorinthi occidisse.*

**446** Ind. Stoic. Herc. col. XXXI. *ὑπο)μένων ἀκούειν καὶ | μετατίθεσθαι. Διὸ καὶ | ποτε Περσαίου πρός τι|νας εἰπόντος, ὡς ἐπύ|θετ' ἐπὶ τὴν ἡδονὴν | αὐτὸν* (scil. Dionysium) *μεταβε(βληκέ)|ναι, διότι ἠβού(λετο | ἀκοῦσα(ι) πρότε(ρον ὑ)|πὸ τῆς ἀκρότ(ητος) | αὐτόν, κατ(ὰ τὸ λεγό)|μενο(ν, τῶν ὀδυνῶν ἀποθανεῖν* etc.

---

13 cf. Dio Chrysost. LXXIII § 2 (V. II 189, 20) *Περσαῖος δὲ παρὰ Ἀντιγόνου τὸν Ἀκροκόρινθον* (scil. *παρέλαβεν*). 28 *διέϱ̓|ϱ̣η(ξ)εν* Comp. *διεχρήσατο* Buecheler. 30 Fortasse: *ἐπὶ πλοίου ἐκπεσὼν πρὸς Ἀντίγονον ἦλθεν.* cf. n. 444. 35 *ἀκοῦσαι* scripsi, *ἀκούσας* legit Comparetti.

**447** Epiphanius adv. haeres. III 38 (DG p. 592,34). *Περσαῖος* τὰ αὐτὰ Ζήνωνι ἐδογμάτισε.

**448** Philodemus de pietate 9 (DG p. 544b 28). *Περσα(ῖος* δὲ) δῆλός ἐστιν — — (ἀφανί)ζω(ν) τὸ (δ)αιμόνιο(ν) ἢ μηθὲ(ν ὑπ)ὲρ αὐτοῦ γινώσκων, ὅταν ἐν τῷ Περὶ θεῶν μὴ (ἀπί)θανα λέγῃ φαίνεσθαι τὰ περὶ (τοῦ) τὰ τρέφοντα καὶ ὠφελοῦν(τ)α θεοὺς νενομίσ(θα)ι καὶ τετειμῆσθ(αι) πρῶτ(ο)ν ὑπὸ (Προ)δίκου γεγραμμένα, μ(ε)τὰ δὲ ταῦτα τού(ς εὑρ)όντας ἢ τροφὰς ἢ (σ)κέπας ἢ τὰς ἄλλας τέχνας (ὡς Δ)ήμητρα (κ)αὶ Δι(όνυσον) καὶ τού(ς etc.

Cicero de nat. deor. I 38. *At Persaeus, eiusdem Zenonis auditor, eos ⟨dicit⟩ esse habitos deos, a quibus magna utilitas ad vitae cultum esset inventa, ipsasque res utiles et salutares deorum esse vocabulis nuncupatas, ut ne hoc quidem diceret, illa inventa esse deorum, sed ipsa divina. quo quid absurdius quam aut res sordidas atque deformis deorum honore adficere aut homines iam morte deletos reponere in deos, quorum omnis cultus esset futurus in luctu.*

Cf. Minuc. Fel. 21,3.

**449** Themistius or. 32 p. 358 Hard. γέλωτα — ὦφλέ ποτε Ἀντιγόνῳ *Περσαῖος* ὁ Κιτιεύς. Ἀντιγόνῳ γὰρ τῷ βασιλεῖ συνδιητᾶτο Περσαῖος ὁ τοῦ Ζήνωνος ἑταῖρος. ἀκούων δὲ αὐτοῦ συνεχῶς ἐξογκουμένου τε καὶ θρυλλοῦντος θαμὰ τὰ κομψὰ δὴ ταῦτα τῆς Ποικίλης νεανιεύματα, ὅτι ὁ σοφὸς ὑπὸ τῆς τύχης ἀήττητός ἐστι καὶ ἀδούλωτος καὶ ἀκέραιος καὶ ἀπαθής, πᾶσαν ἐπεχείρησεν ἔργῳ ἐλέγξαι τὴν τούτου ἀλαζονείαν. ποιεῖται δή τινας ἥκειν ἐμπόρους ἀπὸ Κύπρου τε καὶ Φοινίκης, ἃ χρὴ λέγειν ἐπὶ τοῦ Περσαίου προεκδιδάξας. κἄπειτα ἀνηρώτα πυνθανόμενος πρῶτον μὲν περὶ τῶν νεῶν καὶ τοῦ ναυτικοῦ καὶ τῶν ἐν Κύπρῳ στρατιωτῶν καὶ ὅσα δὴ βασιλικὰ ἐρωτήματα, ἔπειτα ἀτρέμα δὴ κατιὼν τῷ λόγῳ καὶ ὅπως ἔχει καὶ τῷ Περσαίῳ τὰ οἴκοι τὰ ἐν Κιτίῳ. ὡς δὲ τοῦ Περσαίου ἀκούσαντες οἱ ἔμποροι οὗτοι σκυθρωπάσαντες εὐθὺς κατέβαλον τὰς κεφαλὰς καὶ δῆλοι ἦσαν οὐ χρηστὰ ἀποκρινούμενοι, ἀπέῤῥει τε ἡ θρασύτης ἅπασα τοῦ ἀνδρός, καὶ ἐπειδὴ ἐγκειμένου τε καὶ ἐκλιπαροῦντος ἀπεκρίναντο μόλις οἱ ἔμποροι δῆθεν ἐξηνδραποδίσθαι μέν οἱ τὴν γυναῖκα εἰς Ἄργος βαδίζουσαν σὺν ταῖς αὔραις ὑπὸ δή τινων λῃστῶν Αἰγυπτίων, ἀπεσφάχθαι δὲ τὸν ἀγαπητὸν νεανίσκον, καὶ τὰ χρήματα δὲ ἐῤῥεῖν καὶ τὰ ἀνδράποδα· τοὐντεῦθεν δὲ φροῦδος μὲν τῷ Περσαίῳ ὁ Ζήνων, φροῦδος δὲ ὁ Κλεάνθης· ἤλεγξε δὲ ἡ φύσις τὰ λογάρια,

---

11 dicit om. ABHV. De Prodico cf. Diels Fragm. der Vorsokr. p. 540. Persaei περὶ θεῶν liber deest in librorum indice Laërtiano n. 435. 34 fortasse εἰς ἀγρούς. ‖ αὔραις corruptum.

ὅτι τῷ ὄντι λογάρια ἦν κενὰ καὶ ἀσθενῆ καὶ οὐ μαρτυρούμενα ὑπὸ τῶν ἔργων.

**450** Diogenes Laërt. VII 120. *ἀρέσκει τε αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα, καθά φησι Χρύσιππος — — καὶ Περσαῖος καὶ Ζήνων.*

**451** Athenaeus XIII 607 a. *καίτοι Περσαίου τοῦ Κιτιέως ἐν τοῖς Συμποτικοῖς Ὑπομνήμασιν βοῶντος καὶ λέγοντος περὶ ἀφροδισίων ἁρμοστὸν εἶναι ἐν τῷ οἴνῳ μνείαν ποιεῖσθαι· καὶ γὰρ πρὸς ταῦτα ἡμᾶς ὅταν ὑποπίωμεν ἐπιῤῥεπεῖς εἶναι. καὶ „ἐνταῦθα τοὺς μὲν ἡμέρως τε καὶ μετρίως αὐτοῖς χρωμένους ἐπαινεῖν δεῖ, τοὺς δὲ θηριωδῶς καὶ ἀπλήστως ψέγειν.“ καὶ „εἰ διαλεκτικοὶ συνελθόντες εἰς πότον περὶ συλλογισμῶν διαλέγοιντο, ἀλλοτρίως ἂν αὐτοὺς ὑπολάβοι τις ποιεῖν τοῦ παρόντος καιροῦ“ καὶ „ὁ καλὸς κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν· οἱ δὲ βουλόμενοι σωφρονικοὶ εἶναι σφόδρα μέχρι τινὸς διατηροῦσιν ἐν τοῖς πότοις τὸ τοιοῦτον· εἶθ᾽ ὅταν παραρυῇ τὸ οἰνάριον, τὴν πᾶσαν ἀσχημοσύνην ἐπιδείκνυνται. ὃ καὶ πρώην ἐγένετο ἐπὶ τῶν ἐξ Ἀρκαδίας θεωρῶν πρὸς Ἀντίγονον παραγενομένων. ἐκεῖνοι [τε] γὰρ ἠρίστων σφόδρα σκυθρωπῶς καὶ εὐσχημόνως, ὡς ᾤοντο, οὐχ ὅτι ἡμῶν τινα προσβλέποντες, ἀλλ᾽ οὐδὲ ἀλλήλους. ὡς δὲ ὁ πότος προέβαινεν καὶ εἰσῆλθεν ἄλλα τε ἀκροάματα καὶ αἱ Θετταλαὶ αὗται ὀρχηστρίδες, καθάπερ αὐταῖς ἔθος ἐστίν, ἐν ταῖς διαζώστραις γυμναὶ ὠρχοῦντο, οὐκ ἔτι κατεῖχον αὑτοὺς οἱ ἄνδρες, ἀλλὰ ἐκ τῶν κλινῶν ἀνώρμων καὶ ἐβόων ὡς θαυμαστόν τι θέαμα θεώμενοι· καὶ μακάριον τὸν βασιλέα ἀπεκάλουν, ὅτι ἔξεστιν αὐτῷ τούτων ἀπολαύειν, καὶ ἕτερα τούτοις παραπλήσια πάνυ πολλὰ τῶν φορτικῶν ἐποίουν. τῶν φιλοσόφων δέ τις συμπίνων ἡμῖν, εἰσελθούσης αὐλητρίδος καὶ οὔσης εὐρυχωρίας παρ᾽ αὐτῷ, βουλομένης τῆς παιδίσκης παρακαθίσαι οὐκ ἐπέτρεψεν, ἀλλὰ σκληρὸν αὑτὸν εἰσῆγεν. εἶθ᾽ ὕστερον πωλουμένης τῆς αὐλητρίδος, καθάπερ ἔθος ἐστὶν ἐν τοῖς πότοις γίγνεσθαι, ἔν τε τῷ ἀγοράζειν πάνυ νεανικὸς ἦν καὶ τῷ πωλοῦντι, ἄλλῳ τινὶ θᾶττον προσθέντι, ἠμφισβήτει καὶ οὐκ ἔφη αὐτὸν πεπρακέναι· καὶ τέλος εἰς πυγμὰς ἦλθεν ὁ σκληρὸς ἐκεῖνος φιλόσοφος καὶ ἐν ἀρχῇ οὐδ᾽ ἂν παρακαθίσαι ἐπιτρέπων τῇ αὐλητρίδι.“*

*μήποτε αὐτός ἐστιν ὁ Περσαῖος ὁ περὶ τῆς αὐλητρίδος διαπυκτεύσας· φησὶν γὰρ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ περὶ Ζήνωνος γράφων ὧδε· „Ζήνων ὁ Κιτιεὺς Περσαίου παρὰ πότον αὐλητρίδιον πριαμένου καὶ διοκνοῦντος εἰσαγαγεῖν πρὸς αὐτὸν διὰ τὸ τὴν αὐτὴν οἰκεῖν οἰκίαν, συναισθόμενος εἰσείλκυσε τὴν παιδίσκην καὶ συγκατέκλεισε τῷ Περσαίῳ.“*

---

14 *παραρυῇ* scripsi, *παραδυῇ* AE. 17 *τε* del. Mus. 29 *νεανίσκος ἦν* A, corr. Coraes. 30 *προσθέντος* A, corr. Cas. 37 *εἰσείλκυσε* Kaibel, *συνείλκυσε* A.

**452** Athenaeus IV 162b (Cynulcus cynicus cum alios libros probare dicitur, tum:) *Περσαίου τε τοῦ καλοῦ φιλοσόφου συμποτικοὺς διαλόγους, συντεθέντας ἐκ τῶν Στίλπωνος καὶ Ζήνωνος ἀπομνημονευμάτων, ἐν οἷς ζητεῖ, ὅπως ἂν μὴ κατακοιμηθῶσιν οἱ συμπόται, [καὶ] πῶς ταῖς ἐπιχύσεσι χρηστέον πηνίκα τε εἰσακτέον τοὺς ὡραίους καὶ τὰς ὡραίας εἰς τὸ συμπόσιον καὶ πότε αὐτοὺς προσδεκτέον ὡραϊζομένους καὶ πότε παραπεμπτέον ὡς ὑπερορῶντας, καὶ περὶ προσοψημάτων καὶ περὶ ἄρτων καὶ περὶ τῶν ἄλλων, ὅσα τε περιεργότερον περὶ φιλημάτων εἴρηκεν ὁ σωφρονικὸς φιλόσοφος, ὃς περὶ ταῦτα τὴν διάνοιαν ἀεὶ στρέφων, πιστευθείς, ὥς φησιν Ἕρμιππος, ὑπ' Ἀντιγόνου τὸν Ἀκροκόρινθον, κωθωνιζόμενος ἐξέπεσεν καὶ αὐτῆς τῆς Κορίνθου, καταστρατηγηθεὶς ὑπὸ τοῦ Σικυωνίου Ἀράτου, ὁ πρότερον ἐν τοῖς διαλόγοις πρὸς Ζήνωνα διαμιλλώμενος ὡς ὁ σοφὸς πάντως ἂν εἴη καὶ στρατηγὸς ἀγαθός, μόνον τοῦτο διὰ τῶν ἔργων διαβεβαιωσάμενος, ὁ καλὸς τοῦ Ζήνωνος οἰκετιεύς. χαριέντως γὰρ ἔφη Βίων ὁ Βορυσθενίτης, θεασάμενος αὐτοῦ χαλκῆν εἰκόνα, ἐφ' ἧς ἐπεγέγραπτο „Περσαῖον Ζήνωνος Κιτιᾶ" πεπλανῆσθαι τὸν ἐπιγράψαντα· δεῖν γὰρ οὕτως ἔχειν „Περσαῖον Ζήνωνος οἰκετιᾶ." ἦν γὰρ ὄντως οἰκέτης γεγονὼς τοῦ Ζήνωνος, ὡς Νικίας ὁ Νικαεὺς ἱστορεῖ ἐν τῇ περὶ τῶν φιλοσόφων ἱστορίᾳ καὶ Σωτίων ὁ Ἀλεξανδρεὺς ἐν ταῖς Διαδοχαῖς. δύο δὲ συγγράμμασι τοῦ Περσαίου ἀπηντήκαμεν τῆς σοφῆς ταύτης πραγματείας, τοιοῦτον ἔχουσι τὸ ἐπίγραμμα „Συμποτικῶν Διαλόγων."*

**453** Diogenes Laërt. VII 1. *καὶ ἀσθενής* (scil. *ἦν ὁ Ζήνων*). *διὸ καί φησι Περσαῖος ἐν ὑπομνήμασι συμποτικοῖς τὰ πλεῖστα αὐτὸν δεῖπνα παραιτεῖσθαι.*

**454** Athenaeus IV 140e. *περὶ δὲ τῶν ἐπαΐκλων Περσαῖος ἐν τῇ Λακωνικῇ πολιτείᾳ οὑτωσὶ γράφει· „καὶ εὐθὺς τοὺς μὲν εὐπόρους ζημιοῖ εἰς ἐπάικλα· ταῦτα δέ ἐστιν μετὰ δεῖπνον τραγήματα· τοῖς δ' ἀπόροις ἐπιτάττει κάλαμον ἢ στιβάδα ἢ φύλλα δάφνης φέρειν, ὅπως ἔχωσι τὰ ἐπάικλα κάπτειν μετὰ δεῖπνον· γίνεται γὰρ ἄλφιτα ἐλαίῳ ἐῤῥαμένα. τὸ δ' ὅλον ὥσπερ πολίτευμά τι τοῦτο δὴ συνίσταται μικρόν. καὶ γὰρ ὅντινα δεῖ πρῶτον κατακεῖσθαι ἢ δεύτερον ἢ ἐπὶ τοῦ σκιμποδίου καθῆσθαι, πάντα τοιαῦτα ποιοῦσιν εἰς ἐπάικλα." τὰ ὅμοια ἱστορεῖ καὶ Διοσκουρίδης.*

**455** Athenaeus IV 140b. *ἀλλὰ μὴν οὐδ' ὀρθαγορίσκοι λέγονται,*

---

5 *καὶ* del. Kaibel. 9 *σωφρονικὸς* scripsi, *Σωφρονίσκου* libri. 14 *μόνον* vix sanum, fortasse: *οὐ μήν* vel *οὐ μὲν οὖν*. 15 *ὁ κιτιεύς* A, corr. Kaibel. 18 *οἰκετιαια* A. 23 Deest hic liber in indice librorum Laërtiano n. 435. 27 *περσεὺς* A, corr. Cas. 32 *τοῦτον* A, corr. Mus. 34 mutila haec dicit Kaibel.

ὥς φησιν ὁ Πολέμων, οἱ γαλαθηνοὶ χοῖροι, ἀλλ' ὀρθραγορίσκοι, ἐπεὶ πρὸς τὸν ὄρθρον πιπράσκονται, ὡς Περσαῖος ἱστορεῖ ἐν τῇ Λακωνικῇ πολιτείᾳ καὶ Διοσκουρίδης ἐν β' πολιτείας καὶ Ἀριστοκλῆς ἐν τῷ προτέρῳ καὶ οὗτος τῆς Λακώνων πολιτείας.

**456** Dio Chrysostomus or. LIII § 4 (Vol. II p. 101 Arn.). γέγραφε δὲ καὶ Ζήνων ὁ φιλόσοφος εἴς τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν — — διδάσκων ὅτι τὰ μὲν κατὰ δόξαν, τὰ δὲ κατὰ ἀλήθειαν γέγραφεν (scil. Ὅμηρος), ὅπως μὴ φαίνηται αὐτὸς αὑτῷ μαχόμενος — —. ἔτι δὲ καὶ Περσαῖος ὁ τοῦ Ζήνωνος κατὰ τὴν αὐτὴν ὑπόθεσιν γέγραφε καὶ ἄλλοι πλείους.

**457** Diogenes Laërt. II 61. καὶ τῶν ἑπτὰ δὲ (scil. Aeschinis Socratici dialogorum) τοὺς πλείστους Περσαῖός φησι Πασιφῶντος εἶναι τοῦ Ἐρετρικοῦ, εἰς τοὺς Αἰσχίνου δὲ κατατάξαι.

**458** Diogenes Laërt. VII 28. Περσαῖος δέ φησιν ἐν ταῖς ἠθικαῖς σχολαῖς δύο καὶ ἑβδομήκοντα ἐτῶν τελευτῆσαι αὐτόν (scil. τὸν Ζήνωνα), ἐλθεῖν δὲ Ἀθήναζε δύο καὶ εἴκοσι ἐτῶν.

**459** Bio apud Diog. Laërt. IV 46. 47 (Antigono regi, apud quem Philonidem et Persaeum sibi obtrectare comperit, narrato humili genere suo scribit:) ταῦτά ἐστι τὰ κατ' ἐμέ. ὥστε παυσάσθωσαν Περσαῖός τε καὶ Φιλωνίδης ἱστοροῦντες αὐτά· σκόπει δέ με ἐξ ἐμαυτοῦ.

**460** Diogenes Laërt. II 143. (de Menedemo) μόνῳ δὲ Περσαίῳ διαπρύσιον εἶχε πόλεμον· ἐδόκει γὰρ Ἀντιγόνου βουλομένου τὴν δημοκρατίαν ἀποκαταστῆσαι τοῖς Ἐρετριεῦσι χάριν Μενεδήμου, κωλῦσαι. διὸ καί ποτε παρὰ πότον ὁ Μενέδημος ἐλέγξας αὐτὸν τοῖς λόγοις τά τε ἄλλα ἔφη καὶ δή· „Φιλόσοφος μὲν [τοι] τοιοῦτος, ἀνὴρ δὲ καὶ τῶν ὄντων καὶ τῶν γενησομένων κάκιστος.“

**461** Diogenes Laërt. VII 162. μάλιστα δὲ προσεῖχε (scil. ὁ Ἀρίστων) στωϊκῷ δόγματι τῷ τὸν σοφὸν ἀδόξαστον εἶναι. πρὸς ὃ Περσαῖος ἐναντιούμενος διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παρακαταθήκην δοῦναι, ἔπειτα τὸν ἕτερον ἀπολαβεῖν· καὶ οὕτως ἀπορούμενον διήλεγξεν.

**462** Suidas s. v. Ἑρμαγόρας Ἀμφιπολίτης, φιλόσοφος, μαθητὴς Περσαίου. διάλογοι αὐτοῦ· Μισοκύων ἢ περὶ ἀτυχημάτων. Ἔκχυτον· ἔστι δὲ ᾠοσκοπία. Περὶ σοφιστείας πρὸς τοὺς Ἀκαδημαϊκούς.

---

15 ἠθικαὶ σχολαί: ne hic quidem liber in indice Laërtiano n. 435 memoratur. 28 δοξαστὸν BPL.

# 5. Cleanthis Assii fragmenta et apophthegmata.

## Vita et mores.

**463** Diogenes Laërt. VII 168. *Κλεάνθης Φανίου Ἄσσιος. οὗτος πρῶτον ἦν πύκτης, ὥς φησιν Ἀντισθένης ἐν Διαδοχαῖς. ἀφικόμενος δὲ εἰς Ἀθήνας τέσσαρας ἔχων δραχμάς, καθά φασί τινες, καὶ Ζήνωνι παραβαλὼν ἐφιλοσόφησε γενναιότατα καὶ ἐπὶ τῶν αὐτῶν ἔμεινε δογμάτων. διεβοήθη δὲ ἐπὶ φιλοπονίᾳ, ὅς γε, πένης ὢν ἄγαν, ὥρμησε μισθοφορεῖν· καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. φασὶ δὲ αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον εὐέκτης ὢν διαζῇ, ἔπειτα ἀποφυγεῖν τόν τε κηπουρὸν μάρτυρα παρασχόντα, παρ' ὃν ἤντλει, καὶ τὴν ἀλφιτόπωλιν, παρ' ᾗ τὰ ἄλφιτα ἔπεττεν. ἀποδεξαμένους δὲ αὐτὸν τοὺς Ἀρεωπαγίτας ψηφίσασθαι δέκα μνᾶς δοθῆναι, Ζήνωνα δὲ κωλῦσαι λαβεῖν. φασὶ δὲ καὶ Ἀντίγονον αὐτῷ τρισχιλίας δοῦναι. ἡγούμενόν τε τῶν ἐφήβων ἐπί τινα θέαν ὑπ' ἀνέμου παραγυμνωθῆναι καὶ ὀφθῆναι ἀχίτωνα· ἐφ' ᾧ κρότῳ τιμηθῆναι ὑπὸ Ἀθηναίων, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις. ἐθαυμάσθη οὖν δὴ καὶ διὰ τόδε. φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι ὄντα ἀκροατήν, διὰ τί ἀντλεῖ· τὸν δ' εἰπεῖν· „ἀντλῶ γὰρ μόνον; τί δ' οὐχὶ σκάπτω; τί δ' οὐκ ἄρδω καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα;" καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς. καί ποτε ἀθροισθὲν τὸ κέρμα ἐκόμισεν εἰς μέσον τῶν γνωρίμων καί φησι· „Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο· οἱ δὲ ἔχοντες ὅθεν τραφήσονται παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες." ὅθεν δὴ καὶ δεύτερος Ἡρακλῆς ὁ Κλεάνθης ἐκαλεῖτο. ἦν δὴ πονικὸς μέν, ἀφύσικος δὲ καὶ βραδὺς ὑπερβαλλόντως· διὸ καὶ Τίμων περὶ αὐτοῦ φησιν οὕτως·* (fr. 24 W.)

> *τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν,*
> *μωλυτὴς ἐπέων φίλος Ἄσσιος, ὅλμος ἄτολμος.*

*καὶ σκωπτόμενος ὑπὸ τῶν συμμαθητῶν ἠνέσχετο καὶ ὄνος ἀκούων προσεδέχετο, λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον* (secuntur apophthegmata). — 174 *τοῦτόν φασιν εἰς ὄστρακα καὶ βοῶν ὠμοπλάτας γράφειν ἅπερ ἤκουε παρὰ τοῦ Ζήνωνος, ἀπορίᾳ κερμάτων ὥστε ὠνήσασθαι χαρτία. τοιοῦτος δὲ ὢν ἐξίσχυσε, πολλῶν*

---

7 *ὅς γε* BPL. 9 *φρεάντης* P. 16 *κροκότω* B, *κροκωτῷ* L. 25 *τρέφωνται* B, idem aut *τρέφονται* P ante corr., *τρέφονται* L. 27 *δὲ* (pro *δὴ*) BL. 29 *ὃς* P. ‖ *ἐπιπολεῖται* BL. 30 *ὅλμος* BPL. 31 *ἠνείχετο* PL. 34 *ἤκουεν ἀπ' αὐτοῦ Z.* LD. 35 *δὴ* BPD.

καὶ ἄλλων ὄντων ἀξιολόγων Ζήνωνος μαθητῶν, αὐτὸς διαδέξασθαι τὴν σχολήν.

**464** Plutarchus de audiendo 18 p. 47e. ὥσπερ ὁ Κλεάνθης καὶ ὁ Ξενοκράτης βραδύτεροι δοκοῦντες εἶναι τῶν συσχολαστῶν οὐκ ἀπεδίδρασκον ἐκ τοῦ μανθάνειν οὐδ᾽ ἀπέκαμνον, ἀλλὰ φθάνοντες εἰς ἑαυτοὺς ἔπαιζον, ἀγγείοις τε βραχυστόμοις καὶ πινακίσι χαλκαῖς ἀπεικάζοντες, ὡς μόλις μὲν παραδεχόμενοι τοὺς λόγους, ἀσφαλῶς δὲ καὶ βεβαίως τηροῦντες.

**465** Plutarchus de vitando aere alieno 7 p. 830d. ὅσον τὸ φρόνημα τἀνδρός, ἀπὸ τοῦ μύλου καὶ τῆς μάκτρας πεττούσῃ χειρὶ καὶ ἀλούσῃ γράφειν περὶ θεῶν καὶ σελήνης καὶ ἄστρων καὶ ἡλίου.

**466** Seneca epist. 44, 3. *Cleanthes aquam traxit et rigando horto locavit manus.* — epist. 6, 6. *Zenonem Cleanthes non expressisset, si tantummodo audisset; vitae eius interfuit, secreta perspexit, observavit illum, an ex formula sua viveret.*

**467** Quintilianus Instit. orat. XII 7, 9. *cum et Socrati collatum sit ad victum et Zenon, Cleanthes, Chrysippus mercedes a discipulis acceptaverint.*

**468** Ind. Stoic. Herc. col. XIX. „οὐκ ἐκόμισας, ἔφη, τὸ προσ- | ταχθέν" καὶ προσό(μοια) | διε(λ)έχθη καὶ τῇ κατό|πιν, ἕως παρέσ(χεν αὐτὸν) | φέρειν καὶ τὸ ὅ(λον, εἶτ᾽) | ἀποδοὺς ἐκέλε(υσεν τοῖς) | γονεῦσι ἐκπέμψαι. (Δι)|ὸ καί τινες τοῦτον (οὐκ) | ὄντα πλούσιο(ν) ὡς (φι|-λ)άργυρον ἐμέμφ(ον)|το . .

*Philosophus, qui mercedem a discipulo exigit, Cleanthes est.*

**469** Stobaeus Floril. XVII 28 (Vol. I p. 496 Hense). Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας· Χρύσιππος ὁ Σολεὺς ἐποιεῖτο τὸν βίον ἐκ πάνυ ὀλίγων, Κλεάνθης δὲ καὶ ἀπὸ ἐλαττόνων.

**470** Plutarchus de adul. et amico 11 p. 55c. καὶ Βάτωνι τὴν σχολὴν ἀπεῖπεν Ἀρκεσίλαος, ὅτε πρὸς Κλεάνθην στίχον ἐποίησεν ἐν κωμῳδίᾳ, πείσαντος δὲ τὸν Κλεάνθην καὶ μεταμελομένου διηλλάγη.

**471** Ind. Stoic. Herc. col XXII. (αὐτὸν παραιτεῖσθαι, ὥστε τῇ σχολῇ πάλιν ἐ)|πιτρέπειν χρῆ(σθ)αι· | (δι)αλέξ(ασθ)αι δὲ (π)ρὸς | (Ἀρ)κεσίλαν καὶ (φάναι „πρῶ|το)ν μέρος εὐημ(ερ)ία(ς τοῦ|τ᾽) εἶναι, σκοπεῖν (τι)ν̣α̣ (τὰ | κα)θ᾽ αὐτόν." καὶ συν(ή)κον|(τα) δὲ Ἀρκεσίλᾳ τὴ(ν . .|. . .)ν ὑποδεῖξαι. Καὶ μ(ηδ|ὲ)ν ἀμφοτέρους (μηδὲ) | περὶ τὸ(ν) Σωσίθε(ο)ν πο|λυπρα(γμ)ονεῖν. Ἦν δὲ . . . etc.

*Agitur de Batone comico* (Plut. de adul. et am. 11); *qui cum Cleanthi in comoedia maledixisset, Arcesilaus schola ei interdixit, ipso autem Cleanthe intercedente, cum contumeliam excusavisset, rursus admisit. Similis est causa Sosithei* (Diog. Laërt. VII 173).

10 scil. Cleanthis. 34 . . α̣ν̣ pap. ‖ fortasse: συνειπόντι.

472 Ind. Stoic. Herc. col. XXIV. *καὶ διὰ τ(οῦτ)ο πλείοσιν | ὁμιλῶν. (ὡ)ς δέ τις εἰρηκὼς ἀνηγγέλη·*

*„τοῦτ' ἦν*
*ὁ Κλεάνθης, ὡς περὶ τὰς σπονδὰς*
*ἑκάστῳ μικρὸν ἀπα(ρ)χόμενος,*
*πλατῦναι δὲ τὸν λόγον*
*οὐδέποτ' ἐθέλων*
*ἢ οὐ (δυ)νάμενος"*

*ἐπεὶ παρατ(υγ)χά | νοντ' εἶδεν αὐτόν, (εἰ)πών τι πρὸς τὸ πρῶτ(ο)ν τε|(θέ)ν, συμ ....* etc.

*Haec quoque ad Arcesilanum refero, malum carmen in Cleanthem factum ulciscentem.*

473 Ind. Stoic. Herc. col. XX. *.. ροιτ ...... τὸν ὁμο|(ει)δῆ μά(χεσθαι τρό)πον, | (εἴ)ρηται μ(ὲ)ν κα(ὶ) Ζή|(ν)ωνι περὶ τῶν (τοι|-ού)των καὶ γέ(γραπται | μὲ)ν καὶ Ζήνων(ι, ἀσ)|τεῖα δ' εὐφημ(οῦντος) | πρὸς τοὺς π(ρο)γεν(εσ|τέ)ρους τῶ(ν φιλ)οσό|(φ)ων· καὶ τι ... χαρισ | (α)μένων*

*Cleanthi videtur opprobrio verti, quod in scholis vel libris antiquis philosophis maledixerit; neque enim Zenonis magistri exemplo hoc defendi.*

474 Diogenes Laërt. VII 176. *καὶ τελευτᾷ (ὁ Κλεάνθης) τόνδε τὸν τρόπον. διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς. καί πως ἔσχε καλῶς, ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν· τὸν δὲ μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προωδοποιῆσθαι καὶ τὰς λοιπὰς ἀποσχόμενον τελευτῆσαι ταὐτὰ Ζήνωνι, καθά φασί τινες, [ὀγδοήκοντα] ἔτη βιώσαντα καὶ ἀκούσαντα Ζήνωνος ἔτη ἐννεακαίδεκα.*

475 Lucianus Macrob. 19. *Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος ἐννέα καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη φῦμα ἔσχεν ἐπὶ τοῦ χείλους, καὶ ἀποκαρτερῶν, ἐπελθόντων αὐτῷ παρ' ἑταίρων τινῶν γραμμάτων προσενεγκάμενος τροφὴν καὶ πράξας περὶ ὧν ἠξίουν οἱ φίλοι, ἀποσχόμενος αὖθις τροφῆς ἐξέλιπε τὸν βίον.*

476 Ind. Stoic. Herc. col. XXVI. *(ἐπεὶ — — —)σαν, ἔτυχεν δ' αὐ|(τ)ῷ μ(ικρὸ)ν πρὸ τῆς τε|λευτ(ῆ)ς ἐξάνθημα γε|νόμενον περὶ τὸ χεῖλος, | ὃ τοῖς ἰατρο(ῖς ἐδόκει κα)|κόηθες εἶν(αι) .. δι .... |βουν τό*

---

4 *ὡς περὶ* scripsi, *ὡσπερει* pap. 10 hinc agnoscitur Arcesilaus qui contra theses auditorum disputare solebat. 14 ΜΝΑ ...... ΓΟΝ pap. 21 *τοῦτον* BD. 23 *ἀπέσχε* P. 24 *πάντας* BPD, *πάντα* L. ‖ *τῶν* B. 25 *προοδοιπορεῖσθαι* PLD, *προοδο/ποιεῖσθαι* B. ‖ *ἀνασχόμενον* BP. 26 *ταῦτα Ζήνωνι* BD, *ταὐτὰ Ζήνων///* (ος) P, corr. a P[3], *ταῦτα Ζήνων* L. numerum om. BP. 27 *Ζήνωνος* om. BD

τ' ἄσχ(ημον ὑποφέ)|ρειν, Διονυ(σίῳ εἶπε και)|ρὸν εἶναι τὴ(ν ζωὴν ἐκτε)|λεῖν· συνήθε(ις δ' οὖν καὶ) | γνωρίμου(ς ....... | (πε)ρὶ τῶν κ..... — col. XXVII. ζητεῖν, μήποτ' οὐκ ἄ|ξιον αὐτοῦ, φιλόζωον | δ' ἢ ταπεινόν. καὶ ταῦτ' εἰ|πὼν καὶ μείνας εὐδαί|(μων) etc.

De Cleanthis morbo extremo cf. Luc. Macrob. 19. Diog. Laërt. VII 176. Ad col. XXVII adnotat Buecheler: „*mandat Cleanthes ut successorem quaerant non vitae cupidum sectantemque humilia, sed suis moribus dignum.*" mihi videtur Cleanthes de se ipso loqui, e. gr. δεδοικέναι δ' ἔφη τὸ ἐπιβιῶναι ζητεῖν etc.

**477** Ind. Stoic. Herc col. XXVIII 8. ἀλγήσας) | δ' οὐ μικρ(ὸν τοῦ βίου) | ἀπηλλάγ(η ἐπ' ἄρχοντος Ἰ)|άσονος.

col. XXIX. (γεγονέναι Κλε)|άνθην ἐπ' ἄρχον(τος) | Ἀριστοφάνους κα(ὶ) | τὴν σχολὴν δια(κατα)|σχεῖν ἐπ' ἔτη (τ)ριάκ(ον)|τα καὶ (δύο).

Col. XXVIII. *quae posui, recte a Comparettio suppleta esse puto; cetera huius columnae, quia incertiora sunt, exscribere nolui.*

Col. XXIX. *Aristophanes archon fuit 331/0; δύο in fine scriptum esse, Gomperzius probavit.*

**478** Galenus ὅτι αἱ ποιότητες ἀσώματοι 2 Vol. XIX p. 467K. οὔ φημι δεῖν ἓν καὶ ταὐτὸν εἶναι νομίζειν τὸ ἔχον τῷ ἐχομένῳ· οὔτε γὰρ Κλεάνθης ἦν φῦμα, ἐπεὶ συμβεβήκει τοῦτ' αὐτῷ κατὰ τὸ νόσημα, οὔτε Χρύσιππος ἔτι δ' 'Επίκουρος στραγγουρία, ἐπειδὴ ἐκ τούτου τοῦ πάθους αὐτοῖς συνέβη καταστρέψαι τὸν βίον. οὔκουν οὐδὲ πληγὴ τοῦ ἀέρος ἀὴρ ἐστιν etc.

**479** Strabo XIII p. 610. ἐντεῦθεν (scil. ex Asso) ἦν Κλεάνθης, ὁ Στωϊκὸς φιλόσοφος, ὁ διαδεξάμενος τὴν Ζήνωνος τοῦ Κιτιέως σχολήν, καταλιπὼν δὲ Χρυσίππῳ τῷ Σολεῖ.

**480** Cicero Acad. Pr. II 73. *Quis hunc philosophum (scil. Democritum) non anteponit Cleanthi, Chrysippo, reliquis inferioris aetatis? qui mihi cum illo collati quintae classis videntur.*

## Scripta.

**481** Diogenes Laërt. VII 174. *Βιβλία δὲ κάλλιστα καταλέλοιπεν, ἅ ἐστι τάδε·*

*περὶ χρόνου*
*περὶ τῆς [τοῦ] Ζήνωνος φυσιολογίας δύο*
*τῶν Ἡρακλείτου ἐξηγήσεις τέσσαρα*
*περὶ αἰσθήσεως*
*περὶ τέχνης*

---

19 ἔχον scripsi, ἔχειν ed. 20 κατὰ τὸ scripsi, κατ' αὐτὸ ed. 22 spectant haec vocis definitionem Stoicam. 34 τοῦ om. BPLD.

*πρὸς Δημόκριτον*
*πρὸς Ἀρίσταρχον* (n. 500)
*πρὸς Ἥριλλον*
*περὶ ὁρμῆς δύο*
*ἀρχαιολογία*
*περὶ θεῶν* (n. 543)
*περὶ γιγάντων*
*περὶ ὑμεναίου*
*περὶ τοῦ ποιητοῦ* (n. 526. 535. 549. 592)
*περὶ τοῦ καθήκοντος τρία*
*περὶ εὐβουλίας*
*περὶ χάριτος* (n. 578—580)
*προτρεπτικός* (n. 567?)
*περὶ ἀρετῶν*
*περὶ εὐφυΐας*
*περὶ Γοργίππου*
*περὶ φθονερίας*
*περὶ ἔρωτος*
*περὶ ἐλευθερίας*
*ἐρωτικὴ τέχνη*
*περὶ τιμῆς*
*περὶ δόξης*
*πολιτικός*
*περὶ βουλῆς*
*περὶ νόμων*
*περὶ τοῦ δικάζειν*
*περὶ ἀγωγῆς*
*περὶ τοῦ λόγου τρία*
*περὶ τέλους*
*περὶ καλῶν*
*περὶ πράξεως*
*περὶ ἐπιστήμης*
*περὶ βασιλείας*
*περὶ φιλίας*
*περὶ συμποσίου*
*περὶ τοῦ ὅτι ἡ αὐτὴ ἀρετὴ [καὶ] ἀνδρὸς καὶ γυναικός*
*περὶ τοῦ τὸν σοφὸν σοφιστεύειν*
*περὶ χρειῶν*
*διατριβῶν δύο*

---

3 *ἡρίαλον* B. 8 *ὑμεναίου* BPLD. 31 *πράξεων* LD. 36 *καὶ* om. BPD.

*περὶ ἡδονῆς* (n. 558. 530. 552)
*περὶ ἰδίων*
*περὶ τῶν ἀπόρων*
*περὶ διαλεκτικῆς*
*περὶ τρόπων*
*περὶ κατηγορημάτων*
*Ταῦτα αὐτῷ τὰ βιβλία.*

### Placita.

**482** Diogenes Laërt. VII 41. *ὁ δὲ Κλεάνθης ἓξ μέρη φησί* (scil. *τοῦ κατὰ φιλοσοφίαν λόγου*) *διαλεκτικόν, ῥητορικόν, ἠθικόν, πολιτικόν, φυσικόν, θεολογικόν.*

## A. Fragmenta logica et rhetorica.

### Utilitas Logicae.

**483** Arrianus Epict. Diss. I 17, 11. *ἐκεῖνο ἀπαρκεῖ ὅτι τῶν ἄλλων ἐστὶ διακριτικὰ καὶ ἐπισκεπτικὰ καί, ὡς ἄν τις εἴποι, μετρητικὰ καὶ στατικά* (scil. *τὰ λογικά*). *τίς λέγει ταῦτα; μόνος Χρύσιππος καὶ Ζήνων καὶ Κλεάνθης; Ἀντισθένης δ' οὐ λέγει;*

### De Visis.

**484** Sextus adv. math. VII 228. *φαντασία οὖν ἐστὶ κατ' αὐτοὺς τύπωσις ἐν ψυχῇ. περὶ ἧς εὐθὺς καὶ διέστησαν· Κλεάνθης μὲν γὰρ ἤκουσε τὴν τύπωσιν κατὰ εἰσοχήν τε καὶ ἐξοχήν, ὥσπερ καὶ ⟨τὴν⟩ διὰ τῶν δακτυλίων γιγνομένην τοῦ κηροῦ τύπωσιν.* — ib. 372. *εἰ γὰρ τύπωσίς ἐστιν ἐν ψυχῇ ἡ φαντασία, ἤτοι κατ' ἐξοχὴν καὶ εἰσοχὴν τύπωσίς ἐστιν, ὡς οἱ περὶ τὸν Κλεάνθην νομίζουσιν, ἢ κατὰ ψιλὴν ἑτεροίωσιν γίνεται κ. τ. λ.* — ib. VIII 400. *Κλεάνθους μὲν κυρίως ἀκούοντος τὴν μετὰ εἰσοχῆς καὶ ἐξοχῆς νοουμένην* (*τύπωσιν*). — id. Pyrrh. hypotyp. II 70. *ἐπεὶ οὖν ἡ ψυχὴ καὶ τὸ ἡγεμονικὸν πνεῦμά ἐστιν ἢ λεπτομερέστερόν τι πνεύματος, ὥς φασιν, οὐ δυνήσεταί τις τύπωσιν ἐπινοεῖν ἐν αὐτῷ οὔτε κατ' εἰσοχὴν καὶ ἐξοχήν, ὡς ἐπὶ τῶν σφραγίδων ὁρῶμεν, οὔτε [κατὰ] τὴν τερατολογουμένην ἑτεροιωτικήν.*

---

5 τροπῶν B  10 sex partes philosophiae subdivisione ortae ex tribus, quas plerique Stoici statuerunt; neque igitur ab usitata partitione recedit. 22 τὴν addi oportet.  30 κατὰ delevi. ‖ ἑτεροιωτικήν: Chrysippi doctrinam spectat (Vol. II n. 56).

### *Περὶ Σημαινόντων.*

(Vol. II p. 43 sq.)

**485** Varro de lingua lat. V 9. *quod si summum gradum non attigero, tamen secundum praeteribo, quod non solum ad Aristophanis sed etiam ad Cleanthis lucubravi.*

Secundus gradus explanatur § 7. *quo grammatica escendit antiqua, quae ostendit quemadmodum quodque poeta finxerit verbum, confinxerit, declinarit.*

**486** Philodem. de musica col. 28, 1 p. 79 Kemke: *εἰ μ(ὴ τὸ π)αρὰ Κλεάν(θ)ει λέ|γειν (τάχ)α θελήσουσ(ι)ν, ὅς φησιν (ἀ|μείνο(νά) τε εἶναι τὰ ποιητικὰ | καὶ μ(ουσ)ικὰ παραδείγματα | καί, τοῦ (λόγ)ου τοῦ τῆς φιλοσο|φίας ἱκανῶ(ς) μὲν ἐξαγ(γ)έλ|λειν δυναμένου τὰ θε(ῖ)α καὶ | ἀ(ν)θ(ρ)ώ(πινα), μὴ ἔχον(τ)ος δὲ | ψειλοῦ τῶν θείων μεγεθῶν | λέξεις οἰκείας, τὰ μέτρ(α) καὶ | τὰ μέλη καὶ τοὺς ῥυθμοὺς | ὡς μάλιστα προσικνεῖσθαι | πρὸς τὴν ἀλήθειαν τῆς τῶν | θείων θ(ε)ωρίας.*

Nomen Cleanthis etiam p. 57, 3 Kemke agnoscitur, sed sententia nulla.

**487** Seneca Epist. 108, 10. *Nam, ut dicebat Cleanthes, quemadmodum spiritus noster clariorem sonum reddit, cum illum tuba, per longi canalis angustias tractum, patentiore novissimo exitu effudit; sic sensus nostros clariores carminis arta necessitas efficit.*

### *Περὶ Σημαινομένων.*

(Vol. II p. 48.)

**488** Clemens Alex. Strom. VIII 9, 26 p. 930 P. *λεκτὰ γὰρ τὰ κατηγορήματα καλοῦσι Κλεάνθης καὶ Ἀρχέδημος.*

**489** Arrianus Epict. Diss. II 19, 1—4. *ὁ κυριεύων λόγος ἀπὸ τοιούτων τινῶν ἀφορμῶν ἠρωτῆσθαι φαίνεται· κοινῆς γὰρ οὔσης μάχης τοῖς τρισὶ τούτοις πρὸς ἄλληλα, τῷ [τὸ] „πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖον εἶναι," καὶ τῷ „δυνατῷ ἀδύνατον μὴ ἀκολουθεῖν," καὶ τῷ „[μὴ] δυνατὸν εἶναι ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται·" συνιδὼν τὴν μάχην ταύτην ὁ Διόδωρος τῇ τῶν πρώτων δυοῖν πιθανότητι συνεχρήσατο πρὸς παράστασιν τοῦ „μηδὲν εἶναι δυνατὸν ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται." λοιπὸν ὁ μέν τις ταῦτα τηρήσει τῶν δυοῖν ὅτι „ἔστι τέ τι δυνατόν, ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται·" καὶ „δυνατῷ ἀδύνατον οὐκ ἀκολουθεῖ·" „οὐ πᾶν δὲ παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστι·" καθάπερ οἱ περὶ Κλεάνθην φέρεσθαι δοκοῦσιν, οἷς ἐπὶ πολὺ συνηγό-*

---

25 *περὶ κατηγορημάτων* scripsit Cleanthes; cf. ind. Laërt. n. 481. ‖ Archedemi fr. 8 Vol. III p. 262. 28 *τὸ* del. Upt. 30 *μὴ* del. Upt.; etiam in S a rec. corr. deletum est. 36 cf. ibid. 9 *καὶ Κλεάνθης δ' ἰδίᾳ γέγραφεν περὶ τούτου* (scil. *περὶ τοῦ κυριεύοντος*). Cf. Vol. II n. 283 (Chrysippus).

ρησεν Ἀντίπατρος. οἱ δὲ τἄλλα δύο, ὅτι „δυνατόν τ' ἐστὶν ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται·“ καὶ „πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστιν·“ „δυνατῷ δ' ἀδύνατον ἀκολουθεῖ.“ τὰ τρία δ' ἐκεῖνα τηρῆσαι ἀμήχανον, διὰ τὸ κοινὴν εἶναι αὐτῶν μάχην.

Cic. de Fato 7,14. *omnia enim vera in praeteritis necessaria sunt, ut Chrysippo placet, dissentienti a magistro Cleanthe, quia sunt immutabilia nec in falsum e vero praeterita possunt convertere.*

**490** Olympiodorus in Plat. Gorg. p. 53 (ed. Jahn nov. ann. philol. suppl. XIV p. 239, 240). *Κλεάνθης τοίνυν λέγει ὅτι τέχνη ἐστὶν ἕξις ὁδῷ πάντα ἀνύουσα.*

Quintil. Inst. Or. II 17,41. *nam sive, ut Cleanthes voluit, ars est potestas viam, id est ordinem efficiens.* — Cf. Zeno n. 72sq.

### De Rhetorica.

**491** Quintilianus Inst. Or. II 15,34—35. *huic eius substantiae maxime conveniet finitio „rhetoricen esse bene dicendi scientiam.“ nam et orationis omnes virtutes semel complectitur, et protinus etiam mores oratoris, cum bene dicere non possit nisi bonus. idem valet Chrysippi finis ille ductus a Cleanthe „scientia recte dicendi.“*

**492** Cicero de finibus IV 7. *Quamquam scripsit artem rhetoricam Cleanthes — sed sic ut siquis obmutescere concupierit, nihil aliud legere debeat.*

## B. Fragmenta physica et theologica.

### Physicae Fundamenta.

(Vol. II p. 111.)

**493** Diogenes Laërt. VII 134. *δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην, τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν. τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο … Κλεάνθης ἐν τῷ περὶ τῶν ἀτόμων.*

**494** Syrianus ad Ar. Metaph. (Aristot. Berol. Vol. V) 892b 14—23. *ὡς ἄρα τὰ εἴδη παρὰ τοῖς θείοις τούτοις ἀνδράσιν οὔτε πρὸς τὴν χρῆσιν τῆς τῶν ὀνομάτων συνηθείας παρήγετο, ὡς Χρύσιππος καὶ*

---

12 viam … ordinem A, via … ordine B. 14 substantiae ⟨Cleanthis⟩ Kiderlin ann. philol. vol. 131 p. 123, ut Cleanthis fuerit definitio „ἐπιστήμη τοῦ εὖ λέγειν.“ Chrysippi „ἐπιστήμη τοῦ ὀρθῶς λέγειν.“ 29 liber περὶ τῶν ἀτόμων deest in indice Laërtiano n. 481, nisi idem est, qui πρὸς Δημόκριτον vocatur. 31 Socratem dicit Platonem Parmenidem Pythagoreos. De re cf. Vol. II p. 123 n. 360—365.

*Ἀρχέδημος καὶ οἱ πλείους τῶν Στωικῶν ὕστερον φήθησαν ... οὐ μὴν οὐδ' ἐννοήματά εἰσι παρ' αὐτοῖς αἱ ἰδέαι, ὡς Κλεάνθης ὕστερον εἴρηκεν.*

**495** Hermiae Irris. Gent. Phil. 14 (DDG p. 654). *ἀλλ' ὁ Κλεάνθης ἀπὸ τοῦ φρέατος ἐπάρας τὴν κεφαλὴν καταγελᾷ σου τοῦ δόγματος καὶ αὐτὸς ἀνιμᾷ τὰς ἀληθεῖς ἀρχάς, θεὸν καὶ ὕλην. καὶ τὴν μὲν γῆν μεταβάλλειν εἰς ὕδωρ, τὸ δὲ ὕδωρ εἰς ἀέρα, τὸν δὲ ἀέρα ⟨ἄνω⟩ φέρεσθαι, τὸ δὲ πῦρ εἰς τὰ περίγεια χωρεῖν, τὴν δὲ ψυχὴν δι' ὅλου τοῦ κόσμου διήκειν, ἧς μέρος μετέχοντας ἡμᾶς ἐμψυχοῦσθαι.*

**496** Probus ad Verg. Ecl. 6,31 p. 10 Keil. *Omnem igitur hanc rerum naturae formam tenui primum et inani mole dispersam refert (scil. Vergilius) in quattuor elementa concretam et ex his omnia esse postea effigiata. ⟨Ita⟩ Stoici tradunt Zenon Citiaeus et Speusippus (leg. Chrysippus) Soleus et Cleanthes Thasius (leg. Assius).*

**497** Stobaeus Ecl. I 17, 3 p. 153,7 W. (Arii Did. fr. 38 Diels). *Κλεάνθης δὲ οὕτω πώς φησιν· ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα ⟨κατὰ⟩ τὰ ἐχόμενα ἀποσβέννυσθαι δι' ὅλου. τοῦ δὲ παντὸς ἐξυγρανθέντος, τὸ ἔσχατον τοῦ πυρός, ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου, τρέπεσθαι πάλιν ⟨ποιεῖν⟩ εἰς τοὐναντίον, εἶθ' οὕτω τρεπομένου ἄνωθέν φησιν αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον· καὶ τοιαύτην περίοδον αἰεὶ καὶ διακόσμησιν ποιουμένου τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ τόνον μὴ παύεσθαι. ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύεται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται. καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρμα συνιόντες μίγνυνται καὶ αὖθις διακρίνονται γινομένων τῶν μερῶν, οὕτως ἐξ ἑνός τε πάντα γίνεσθαι καὶ ἐκ πάντων [εἰς] ἓν συγκρίνεσθαι, ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου.*

**498** Aëtius I 14,5 (DDG p. 312b). *Κλεάνθης μόνος τῶν Στωικῶν τὸ πῦρ ἀπεφήνατο κωνοειδές.*

**499** Eusebius praep. evang. XV 15,7 (Ar. Did. fr. 29 Diels p. 465).

---

7 *μεταβαλεῖν* vulgo, corr. Diels. ‖ *ἄνω* add. Diels, *εἰς πῦρ* mavult Pearson, quod ad *φέρεσθαι* non accommodatum est. Fortasse plura exciderunt: *τὸν δὲ ἀέρα ⟨εἰς πῦρ· καὶ τὸ μὲν πῦρ ἄνω⟩ φέρεσθαι, τὸν δὲ ἀέρα εἰς τὰ περίγεια χωρεῖν.* 13 ⟨Ita⟩ add. Keil. 17 *κατὰ* addidi; subiectum esse *τὸ πᾶν* probant v. *δι' ὅλου*. 19 *ποιεῖν* addidi; ignis non ipse nunc convertitur in contrarium, sed mediam partem globi, quae adhuc paulatim in aquam vertebatur, rursus contrariam mutationem subire cogit. 20 *τρεπομένου* FP, *τρεπόμενον* Canter; illud praefero, quia non ignem converti, sed aquosam globi partem constat. ‖ *ἄνωθεν* scripsi, *ἄνω* vulgo; ignis in altissima tantum caeli parte relictus nunc ad inferiores regiones paulatim descendens crescit et omnia format atque disponit. 21 *τοσαύτην* FP, corr. Meineke, 21. 22 *τοῦ—τόνου* FP, corr. Meineke. 22 requiro: *τινος ⟨ζῴου⟩*. 26 *γενομένων* Meineke. 27 *εἰς* del. Diels.

ἡγεμονικὸν δὲ τοῦ κόσμου Κλεάνθει μὲν ἤρεσε τὸν ἥλιον εἶναι διὰ τὸ μέγιστον τῶν ἄστρων ὑπάρχειν καὶ πλεῖστα συμβάλλεσθαι πρὸς τὴν τῶν ὅλων διοίκησιν, ἡμέραν καὶ ἐνιαυτὸν ποιοῦντα καὶ τὰς ἄλλας ὥρας.

Ps. Censorin. I 4 p. 75, 14 Jahn. *et constat quidem (mundus) quattuor elementis terra aqua igne aere. cuius principalem solem quidam putant, ut Cleanthes.* — Diogenes Laërt. VII 139. Aëtius II 4, 16 (DDG p. 332b). *Κλεάνθης ὁ Στωικὸς ἐν ἡλίῳ ἔφησεν εἶναι τὸ ἡγεμονικὸν τοῦ κόσμου.* — Cicero Acad. pr. II 126. *Cleanthes, qui quasi maiorum est gentium Stoicus, Zenonis auditor, solem dominari et rerum potiri putat.*

**500** Plutarchus de facie in orbe lunae c. 6, 3 p. 923a. *Ἀρίσταρχον ᾤετο δεῖν Κλεάνθης τὸν Σάμιον ἀσεβείας προσκαλεῖσθαι τοὺς Ἕλληνας, ὡς κινοῦντα τοῦ κόσμου τὴν ἑστίαν, ὅτι ⟨τὰ⟩ φαινόμενα σώζειν ἀνὴρ ἐπειρᾶτο, μένειν τὸν οὐρανὸν ὑποτιθέμενος, ἐξελίττεσθαι δὲ κατὰ λοξοῦ κύκλου τὴν γῆν, ἅμα καὶ περὶ τὸν αὑτῆς ἄξονα δινουμένην.*

**501** Aëtius II 20, 4 (DDG p. 349b). *Κλεάνθης ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης τὸν ἥλιον.*

Cicero de nat. deor. III 37. *Quid enim? non eisdem vobis placet omnem ignem pastus indigere nec permanere ullo modo posse, nisi alitur: ali autem solem, lunam, reliqua astra aquis, alia dulcibus, alia marinis? eamque causam Cleanthes adfert cur se sol referat nec longius progrediatur solstitiali orbi itemque brumali, ne longius discedat a cibo.* — Macrobius Sat. I 23, 2. *ideo enim, sicut et Posidonius et Cleanthes affirmant, solis meatus a plaga, quae usta dicitur, non recedit, quia sub ipsa currit Oceanus, qui terram ambit et dividit.*

Aëtius II 23, 5 (DDG p. 353a). *Οἱ Στωϊκοὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς διέρχεσθαι τὸν ἥλιον· ὠκεανὸς δέ ἐστιν ἡ γῆ, ἧς τὴν ἀναθυμίασιν ἐπινέμεται.*

**502** Clemens Alex. Strom. V 8, 48 p. 674 P. *οὐκ ἀνέγνωσαν δ' οὗτοι Κλεάνθην τὸν φιλόσοφον, ὃς ἄντικρυς πλῆκτρον τὸν ἥλιον καλεῖ· ἐν γὰρ ταῖς ἀνατολαῖς, ἐρείδων τὰς αὐγάς, οἷον πλήσσων τὸν κόσμον εἰς τὴν ἐναρμόνιον πορείαν [τὸ φῶς] ἄγει.*

Cf. Plut. de Pyth. orac. c. 16 fin. *ὕστερον μέντοι πλῆκτρον ἀνέθηκαν τῷ θεῷ χρυσοῦν, ἐπιστήσαντες, ὡς ἔοικε, Σκυθίνῳ λέγοντι περὶ τῆς λύρας,*

*ἣν ἁρμόζεται*
*Ζηνὸς εὐειδὴς Ἀπόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος*
*συλλαβών· ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.*

---

12 τὰ add. Pearson; librum Cleanthis πρὸς Ἀρίσταρχον habet index Laërtianus n. 481. 32 τὸ φῶς seclusi; nam mundus est, qui agitur εἰς τὴν ἐναρμόνιον πορείαν.

**503** Cornutus cp. 32 (de Apolline i. e. de Sole locutus). μουσικὸς δὲ καὶ κιθαριστὴς παρεισῆκται τῷ κρούειν ἐναρμονίως πᾶν μέρος τοῦ κόσμου καὶ συνῳδὸν αὐτὸν πᾶσι τοῖς [ἄλλοις] μέρεσι ποιεῖν, μηδεμιᾶς αὐτῶν ἐκμελείας ἐν τοῖς οὖσι θεωρουμένης, ἀλλὰ καὶ τὴν τῶν χρόνων πρὸς ἀλλήλους συμμετρίαν ἐπ' ἄκρον ὡς ἐν ῥυθμοῖς τηροῦντος αὐτοῦ καὶ τὰς τῶν ζῴων φωνάς, ὡς αὖ τοὺς τῶν ἄλλων σωμάτων ψόφους, ἰδίᾳ ⟨διὰ⟩ τὸ ξηραίνεσθαι χρησίμως ὑπ' ⟨αὐτοῦ⟩ τὸν ἀέρα ἀποδιδόντος καὶ δαιμονίως ἡρμόσθαι πρὸς τὰς ἀκοὰς ποιοῦντος.

**504** Cicero de nat. deor. II 40. *atque ea (sidera) quidem tota esse ignea duorum sensuum testimonio confirmari Cleanthes putat, tactus et oculorum. nam solis et candor illustrior est quam ullius ignis, quippe qui immenso mundo tam longe lateque colluceat, et is eius tactus est, non ut tepefaciat solum, sed etiam saepe comburat. quorum neutrum faceret, nisi esset igneus. „ergo", inquit „cum sol igneus sit Oceanique alatur humoribus, quia nullus ignis sine pastu aliquo posset permanere, necesse est aut ei similis sit igni, quem adhibemus ad usum atque victum, aut ei, qui corporibus animantium continetur.* — 41. *atqui hic noster ignis, quem usus vitae requirit, confector est et consumptor omnium idemque, quocumque invasit, cuncta disturbat ac dissipat. contra ille corporeus vitalis et salutaris omnia conservat, alit, auget, sustinet sensuque adficit." negat ergo esse dubium, horum ignium sol utri similis sit, cum is quoque efficiat, ut omnia floreant et in suo quaeque genere pubescant. quare cum solis ignis similis eorum ignium sit, qui sunt in corporibus animantium, solem quoque animantem esse oportet, et quidem reliqua astra, quae oriantur in ardore caelesti, qui aether vel caelum nominatur.*

## De mundo et de meteoris.

(Vol. II p. 167 et p. 195.)

**505** Geminus elem. astron. Petav. Uranolog. p. 53. ὑπὸ τὴν διακεκαυμένην ζώνην τινὲς τῶν ἀρχαίων ἀπεφήναντο, ὧν ἐστι καὶ Κλεάνθης ὁ Στωικὸς φιλόσοφος, ὑποκεχύσθαι μεταξὺ τῶν τροπικῶν τὸν ὠκεανόν.

**506** Stobaeus Ecl. I 26, 1i p. 219, 14 W. (Arii Did. fr. 34 Diels). Κλεάνθης πυροειδῆ τὴν σελήνην, πιλοειδῆ δὲ τῷ σχήματι.

**507** Aëtius II 16, 1 (DDG p. 345a 16). Ἀναξαγόρας Δημόκριτος

3 συνῳδὸν Osann, σύνοδον libri. ‖ ἄλλοις seclusi. 6 ὡς αὖ τοὺς scripsi, ὧν αὐτὸς libri. 7 διὰ addidi. ‖ ὑπ' αὐτοῦ scripsi, ὑπὸ libri. 11 solis et candor *Klotz*, solis calor et candor *libri*. 15 possit *codd., corr. C. F. W. Mueller*. 17 atqui *cod. Rehdig.*, atque *ceteri*. 25 atque item *Orellius*. 34 πηλοειδῆ libri, corr. Heeren.

Κλεάνθης ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας. — Galen. hist. phil. 58 (DDG p. 625, 9). Ἀ. καὶ Δ. καὶ Κλεάνθης ἀπὸ ἀνατολῶν εἰς δυσμὰς φέρεσθαι τοὺς ἀστέρας νομίζουσιν.

**508** Aëtius II 14, 2 (DDG p. 343). οἱ μὲν ἄλλοι ⟨Στωικοὶ⟩ σφαιρικοὺς αὐτούς, Κλεάνθης δὲ κωνοειδεῖς (scil. τοὺς ἀστέρας). — Galenus hist. phil. 56a (DDG p. 624, 22). Κλεάνθης κωνοειδεῖς (τοὺς ἀστέρας). — Achilles Tat. p. 133c. Κλεάνθης αὐτοὺς (sc. τοὺς ἀστέρας) κωνοειδὲς ἔχειν σχῆμά φησι. — Theodoretus Gr. aff. cur. IV 20. (p. 105, 15 Ra.) κωνοειδεῖς δὲ Κλεάνθης ὁ Στωικός.

**509** Philo de provid. II 48 (p. 79 Aucher). *Age interim ponamus inter nos universum ingenitum ac sempiternum, iuxta illud quod suggerit sermo celeberrimorum philosophantium, sicut conscribunt Parmenides, Empedocles, Zeno, Cleanthes aliique divi homines ac velut verus quidam proprieque sacer coetus. Atqui ex ingenita materia quid miramur si pars aliqua generetur aut corrumpatur, partim per providentiam dei, partim ob rerum ordinem? Namque et ceterorum artificum unus quisque materiem generare haud solet, sed quam sibi sumit, eam figurat formatque et artis ordinem ei imponit. — — Quare iuxta huiusmodi hypothesin deus materiam primam non generavit sempiterne, sed materia ad usum sumpta, per eam caelum et terram atque species animalium plantarumque et omnia fecit — —. Quod nihilominus nullatenus impedit esse providentiam, etsi una cum materia mundus ingenitus supponatur.* — 49. *Quomodo? Quia non solum creare et edere materiam proprium est providentiae, verum etiam conservare moderarique, quod est factum.*

**510** Plutarchus de comm. not. 31 p. 1075d. ἔτι τοίνυν ἐπαγωνιζόμενος ὁ Κλεάνθης τῇ ἐκπυρώσει λέγει τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὸν ἥλιον ἐξομοιώσειν πάντα ἑαυτῷ καὶ μεταβαλεῖν εἰς ἑαυτόν. ἀλλ' ὅτι ⟨καὶ⟩ οἱ ἀστέρες, θεοὶ ὄντες, πρὸς τὴν ἑαυτῶν φθορὰν συνεργοῦσι τῷ ἡλίῳ, συνεργοῦντές τι πρὸς τὴν ἐκπύρωσιν. πολὺς ἂν ⟨οὖν⟩ εἴη γέλως ἡμᾶς περὶ σωτηρίας αὐτοῖς προσεύχεσθαι καὶ σωτῆρας ἀνθρώπων νομίζειν, οἷς κατὰ φύσιν ἐστὶ τὸ σπεύδειν ἐπὶ τὴν αὑτῶν φθορὰν καὶ ἀναίρεσιν.

**511** Philo de Incorr. Mundi cp. 18 (p. 28 Cumont, p. 505 Mang.). μεταβάλλειν δὲ ἢ εἰς φλόγα ἢ εἰς αὐγὴν ἀναγκαῖον (scil. τὸν κόσμον ἐκπυρωθέντα), εἰς μὲν φλόγα, ὡς ᾤετο Κλεάνθης, εἰς δ' αὐγήν, ὡς ὁ Χρύσιππος.

**512** Stobaeus Ecl. I 20, 1e p. 171, 2 W. (Arii Didymi fr. 36 Diels).

---

28 ἐξομοιῶσαι libri, corr. Zeller. 29 καὶ addidi. 30 συνεργοῦντες post συνεργοῦσι offendit; fortasse ἡλίῳ καὶ πρὸς τὴν ἐκπύρωσιν. 31 οὖν addidi; sunt verba Plutarchi Cleanthis sententiam refellentis.

*Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα πρότερον ἦν.*

**513** Cicero de nat. deor. II 24. *quod quidem Cleanthes his etiam argumentis docet, quanta vis insit caloris in omni corpore: negat enim esse ullum cibum tam gravem, quin is nocte et die concoquatur; cuius etiam in reliquiis inest calor iis, quas natura respuerit.* (Fortasse etiam quae antecedunt verba ibid. § 23 ex Cleanthe expressa sunt a Posidonio:) *Sic enim res se habet, ut omnia, quae alantur et quae crescant contineant in se vim caloris, sine qua neque ali possent nec crescere. Nam omne, quod est calidum et igneum, cietur et agitur motu suo; quod autem alitur et crescit, motu quodam utitur certo et aequabili; qui quam diu remanet in nobis, tam diu sensus et vita remanet; refrigerato autem et extincto calore occidimus ipsi et extinguimur* (secuntur verba supra exscripta).

**514** Cornutus cp. 31. *Ἡρακλῆς δ' ἐστὶν ὁ ἐν τοῖς ὅλοις τόνος, καθ' ὃν ἡ φύσις ἰσχυρὰ καὶ κραταιά ἐστιν, ἀνίκητος καὶ ἀπεριγένητος οὖσα, μεταδοτικὸς ἰσχύος καὶ τοῖς κατὰ μέρος καὶ ἀλκῆς ὑπάρχων.* (deinde de Alcumenae et Amphitryonis filio disputat, cuius facta a recentioribus cum dei factis permixta sint, *ὥστε δυσδιάκριτα γεγονέναι τὰ τοῦ θεοῦ ἴδια ἀπὸ τῶν περὶ τοῦ ἥρωος ἱστορουμένων*) *τάχα δ' ἂν ἡ λεοντῆ καὶ τὸ ῥόπαλον ἐκ τῆς παλαιᾶς θεολογίας ἐπὶ τοῦτον μετενηνεγμένα εἴη. — — σύμβολον δ' ἂν ἑκάτερον εἴη ῥώμης καὶ γενναιότητος· ὁ μὲν γὰρ λέων τὸ ἀλκιμώτατον τῶν θηρίων ἐστί, τὸ δὲ ῥόπαλον τὸ καρτερώτατον τῶν ὅπλων. καὶ τοξότης δ' ἂν ὁ θεὸς παρεισάγοιτο κατά τε τὸ πανταχοῦ διϊκνεῖσθαι καὶ κατὰ τὸ ἔντονόν τι ἔχειν καὶ τὴν τῶν βελῶν φοράν. — — οἰκείως δὲ παρέδοσαν αὐτὸν Κῷοι τῇ Ἥβῃ συνοικοῦντα, ὡς ὁλοσχερέστερον αὖ τὸ* ⟨*σῶμα ἢ*⟩ *τὴν διάνοιαν ὄντα. ὡς γάρ* ⟨*φησιν ὁ Εὐριπίδης*⟩

*νέων τι δρᾶν μὲν εὐτονώτεραι χέρες,*
*ψυχαὶ δ' ἀμείνους τῶν γεραιτέρων πολύ.*

*ὑπονοῶ δὲ καὶ τὴν παρ' Ὀμφάλῃ λατρείαν ἐκείνῳ πιθανώτερον εἶναι προσήκειν, ἐμφαινόντων πάλιν διὰ τούτου τῶν παλαιῶν ὅτι καὶ τοὺς ἰσχυροτάτους ὑποτάττειν δεῖ ἑαυτοὺς τῷ λόγῳ καὶ τὰ ὑπὸ τούτου προσταττόμενα ποιεῖν, εἰ καὶ θηλύτερόν τι κατὰ τὴν θεωρίαν καὶ τὴν λογικὴν σκέψιν προσπίπτει, τῆς ὀμφῆς, ἣν οὐκ ἀτόπως ἂν δόξαιεν*

---

16 *τόνος* scribitur necessario, *λόγος* libri. 18 *ἀνίκητος—οὖσα* verba a Langio iniuria proscripta. 28 *αὖ τὸ* ⟨*σῶμα ἢ*⟩ scripsi, *αὐτὸν* libri. 29 *φησιν ὁ Εὐριπίδης* supplevi; frg. est Bellerophontis Eur. 293 N. 32 *πιθανώτερον* V², *πιθανωτέραν* vulgo. 36 genit. *τῆς ὀμφῆς* recte se habet; opponitur ad *τούτου* (scil. *τοῦ λόγου*). — Totum fere caput adscripsi, quia omnia ex Cleanthe sumpta

Ὀμφάλην προσηγορευκέναι. Τοὺς δὲ δώδεκα ἄθλους ἐνδέχεται μὲν ἀναγαγεῖν οὐκ ἀλλοτρίως ἐπὶ τὸν θεόν, ὡς καὶ Κλεάνθης ἐποίησεν· οὐ δεῖ δὲ δοκεῖν πανταχοῦ τὸ εὑρεσίλογον πρεσβεύειν.

## De animalibus.

**515** Plutarchus *πότερα τῶν ζῴων φρονιμώτερα* cp. 11 p. 967e. *ὁ μὲν οὖν Κλεάνθης ἔλεγε, καίπερ οὐ φάσκων μετέχειν λόγου τὰ ζῷα, τοιαύτῃ θεωρίᾳ παρατυχεῖν· μύρμηκας ἐλθεῖν ἐπὶ μυρμηκιὰν ἑτέραν μύρμηκα νεκρὸν φέροντας· ἀνιόντας οὖν ἐκ τῆς μυρμηκιᾶς ἑτέρους οἷον ἐντυγχάνειν αὐτοῖς καὶ πάλιν κατέρχεσθαι· καὶ τοῦτο δὶς ἢ τρὶς γενέσθαι· τέλος δὲ τοὺς μὲν κάτωθεν ἀνενεγκεῖν ὥσπερ λύτρα τοῦ νεκροῦ σκώληκα, τοὺς δ' ἐκεῖνον ἀραμένους, ἀποδόντας δὲ τὸν νεκρὸν οἴχεσθαι.* — Aelianus Nat. An. VI 50. *Κλεάνθην τὸν Ἄσσιον κατηνάγκασε καὶ ἄκοντα εἶξαι καὶ ἀποστῆναι τοῖς ζῴοις τοῦ καὶ ἐκεῖνα λογισμοῦ μὴ διαμαρτάνειν, ἀντιλέγοντα ἰσχυρῶς καὶ κατὰ κράτος, ἱστορία τοιαύτη, φασίν. ἔτυχεν ὁ Κλεάνθης καθήμενος καὶ μέντοι καὶ σχολὴν ἄγων μακροτέραν ἄλλως· οὐκοῦν μύρμηκες παρὰ τοῖς ποσὶν ἦσαν αὐτῷ πολλοί· ὁ δὲ ἄρα ὁρᾷ ἐξ ἀτραποῦ τινος ἑτέρας νεκρὸν μύρμηκα μύρμηκας ἄλλους κομίζοντας εἰς οἶκον ἑτέρων καὶ ἑαυτοῖς οὐ συντρόφων, καὶ ἐπί γε τῷ χείλει τῆς μυρμηκιᾶς ἑστῶτας αὐτῷ νεκρῷ, καὶ ἀνιόντας κάτωθεν ἑτέρους καὶ συνόντας τοῖς ξένοις ὡς ἐπί τινι, εἶτα κατιόντας τοὺς αὐτούς, καὶ πλεονάκις τοῦτο· καὶ τελευτῶντας σκώληκα, οἱονεὶ λύτρα, κομίσαι· τοὺς δὲ ἐκεῖνον μὲν λαβεῖν, προέσθαι δὲ ὅνπερ οὖν ἐπήγοντο νεκρόν· καὶ ἐκείνους ὑποδέξασθαι ἀσμένως, ὡς υἱὸν κομιζομένους ἢ ἀδελφόν.*

**516** Clem. Alex. Strom. VII 6, 33 p. 849 P. *διὸ καὶ Κλεάνθης φησὶν ἀνθ' ἁλῶν αὐτοὺς* (scil. *τοὺς ὗς*) *ἔχειν τὴν ψυχήν, ἵνα μὴ σαπῇ τὰ κρέα.* Cf. Vol. II p. 206.

**517** Stobaeus Floril. 4, 90 Vol. I p. 240 Hense. *Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.*

Idem Stob. Ecl. II 31, 64 p. 212, 22 W.

## De anima hominis.

**518** Tertullianus de An. c. 5. *vult et Cleanthes non solum corporis lineamentis, sed et animae notis similitudinem parentibus in filios respondere de speculo, scilicet morum et ingeniorum et adfectuum: corporis autem similitudinem et dissimilitudinem capere: et animam ita-*

---

esse probabile est, cuius de tensione (*τόνος*) doctrina Herculis fabula illustratur. Nam iure me *τόνος* pro *λόγος* scripsisse in capitis initio, tota oratio clamat.
35 ante „et" interpunxit Pearson, sublata interpunctione post „animam".

*que corpus, similitudini vel dissimilitudini obnoxiam. item corporalium et incorporalium passiones inter se non communicare. porro et animam compati corpori, cui laeso ictibus, vulneribus, ulceribus condolescit, et corpus animae, cui adflictae cura, angore, amore coaegrescit, per detrimentum socii vigoris, cuius pudorem et pavorem rubore atque pallore testetur. igitur anima corpus ex corporalium passionum communicatione.*

Nemesius de nat. hom. p. 32. ὁ *Κλεάνθης* τοιόνδε πλέκει συλλογισμόν· οὐ μόνον, φησίν, ὅμοιοι τοῖς γονεῦσι γινόμεθα κατὰ τὸ σῶμα ἀλλὰ καὶ κατὰ τὴν ψυχὴν τοῖς πάθεσι, τοῖς ἤθεσι, ταῖς διαθέσεσι. σώματος δὲ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, οὐχὶ δὲ ἀσωμάτου, σῶμα ἄρα ἡ ψυχή ... ἔτι δὲ ὁ *Κλεάνθης* φησίν· οὐδὲν ἀσώματον συμπάσχει σώματι, οὐδὲ ἀσωμάτῳ σῶμα, ἀλλὰ σῶμα σώματι· συμπάσχει δὲ ἡ ψυχὴ τῷ σώματι νοσοῦντι καὶ τεμνομένῳ· καὶ τὸ σῶμα τῇ ψυχῇ· αἰσχυνομένης γοῦν ἐρυθρὸν γίνεται καὶ φοβουμένης ὠχρόν· σῶμα ἄρα ἡ ψυχή.

Tertullianus de An. c. 25. *unde oro te similitudine animae quoque parentibus de ingeniis respondemus secundum Cleanthis testimonium, si non ex animae semine educimur?* Cf. Panaetium ap. Cic. Tusc. I 79.

**519** Eusebius praep. evang. XV 20, 2 (Ar. Did. fr. 39 Diels). περὶ δὲ ψυχῆς **Κλεάνθης** μὲν τὰ Ζήνωνος δόγματα παρατιθέμενος πρὸς σύγκρισιν τὴν πρὸς τοὺς ἄλλους φυσικούς φησιν, ὅτι Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν, καθάπερ Ἡράκλειτος. βουλόμενος γὰρ ἐμφανίσαι, ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτὰς τοῖς ποταμοῖς λέγων οὕτως „ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιῤῥεῖ.“ ⌊καὶ „ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται.“ ἀναθυμίασιν μὲν οὖν ὁμοίως τῷ Ἡρακλείτῳ τὴν ψυχὴν ἀποφαίνει Ζήνων· αἰσθητικὴν δὲ αὐτὴν εἶναι διὰ τοῦτο λέγει etc. — Cf. Zeno n. 141.

**520** Longinus ap. Euseb. praep. evang. XV 21, 3. Ζήνωνι μὲν γὰρ καὶ **Κλεάνθει** νεμεσήσειέ τις ἂν δικαίως οὕτω σφόδρα ὑβριστικῶς περὶ αὐτῆς (scil. ψυχῆς) διαλεχθεῖσι καὶ ταὐτὸν ἄμφω τοῦ στερεοῦ σώματος εἶναι τὴν ψυχὴν ἀναθυμίασιν φήσασι. — Theodoret. gr. aff. cur. V 27 p. 130, 2 Ra. ἄμφω γὰρ (Ζήνων καὶ **Κλεάνθης**) τοῦ στερεοῦ σώματος εἶναι τὴν ψυχὴν ἀναθυμίασιν.

**521** Galenus de Hippocr. et Plat. plac. II 8 (V p. 283 K., p. 248 ed. Iu. Mueller). εἰ δέ γε ἕποιτο (scil. Διογένης ὁ Βαβυλώνιος) Κλε-

---

1 obnoxiam *Hicks*, obnoxium *libri*. 4 coaegrescit *Latinius*, cohaerescit *libri*. 5 socii *libri*, scilicet *Ursinus*. 6 communicatione *scripsi*, commutatione *libri*. 21 αἴσθησιν ἢ ἀναθυμίασιν libri, corr. Wellmann. 22 ἕτεραι ἀεὶ exspectat Diels, iure ni fallor. 24 Heracliti fr. 42 Byw.; de verbis ψυχαὶ — ἀναθυμιῶνται cf. Zeno fr. 141 adn. 31 αἵματος coni. Stein Psychol. d. Stoa I p. 107, quod propter στερεοῦ probabile non est.

*ἄνθει καὶ Χρυσίππῳ καὶ Ζήνωνι τρέφεσθαι μὲν ἐξ αἵματος φήσαντι τὴν ψυχήν, οὐσίαν δ' αὐτῆς ὑπάρχειν τὸ πνεῦμα* etc.

**522** Diogenes Laërt. VII 157. *Κλεάνθης μὲν οὖν πάσας ἐπιδιαμένειν* (scil. *τὰς ψυχὰς*) *μέχρι τῆς ἐκπυρώσεως, Χρύσιππος δὲ τὰς τῶν σοφῶν μόνον.*

**523** Aëtius IV 5, 11 (DDG p. 392b 1). *Πυθαγόρας, Ἀναξαγόρας, Πλάτων, Ξενοκράτης, Κλεάνθης θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν.*
*qui hoc de Cleanthe dixit, philosophum male intellexisse videtur.*

**524** Scholiasta ad. Nic. Ther. 447, p. 36, 12 Keil. *κραντῆρες λέγονται οἱ ὕστερον ἀναβαίνοντες ὀδόντες παρὰ τὸ κραίνειν καὶ ἀποπληροῦν τὴν ἡλικίαν. νεωτέρων γὰρ ἤδη ἡμῶν γενομένων φύονται οἱ ὀδόντες οὗτοι. Κλεάνθης δὲ σωφρονιστῆρας αὐτοὺς καλεῖ. νῦν ἁπλῶς τοὺς ὀδόντας. σωφρονιστῆρες δὲ διὰ τὸ ἅμα τῷ ἀνιέναι αὐτοὺς καὶ τὸ σῶφρον τοῦ νοῦ λαμβάνειν ἡμᾶς.*

**525** Seneca Epist. 113, 18. *inter Cleanthem et discipulum eius Chrysippum non convenit quid sit ambulatio: Cleanthes ait spiritum esse a principali usque in pedes permissum; Chrysippus ipsum principale.*

**526** Apollonius soph. lex. Homer. p. 114 ed Bekk. s. v. *μῶλυ* (*κ* 305) *Κλεάνθης δὲ ὁ φιλόσοφος ἀλληγορικῶς φησι δηλοῦσθαι τὸν λόγον, δι' οὗ μωλύονται αἱ ὁρμαὶ καὶ τὰ πάθη.*

## De Fato.

(Cf. n. 551. Vol. II p. 264.)

**527** Epictet. Man. c. 53.

*ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ πεπρωμένη,*
*ὅποι ποθ' ὑμῖν εἰμὶ διατεταγμένος,*
*ὡς ἕψομαί γ' ἄοκνος· ἢν δέ γε μὴ θέλω*
*κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.*

Vs. 1 affert Arrian. Epict. diss. II 23, 42 III 22, 95 IV 4, 34. Vs. 1. 2 idem IV 1, 131. Seneca Epist. 107, 10. *et sic adloquamur Iovem cuius gubernaculo moles ista dirigitur, quemadmodum Cleanthes noster versibus disertissimis adloquitur; quos mihi in nostrum sermonem mu-*

---

4 *τὰς μέχρι τῆς* P, *τὰς μέχρι* (om. *τῆς*) BL. 5 *μόνων* BP. 11 fortasse: *τελεωτέρων*. 20 *μωλύονται* scripsi, *μωλύνονται* vulgo. 24 *γ'* neque in Dissertationum codice Saibantino neque in Enchiridii codicibus a prima manu scriptum est, sed aut *σὺ ἡ* aut *σὺ καὶ ἡ*; *γε* habent correctores et apogr. codicis S, habet Vettius Valens Anthol. astrol. VI 8 (in cod. Hamburg. „Math. Gr. III 40" saec. XVII f. 116v). 26 *γε* om. Vettius. 27 *κακὸς γενόμενος αὐτὸ τοῦτο πείσομαι* Vettius (De loco Vettii me certiorem fecit Usener, qui lectionem eius in vs. 4 praeferendam putat).

*tare permittitur Ciceronis disertissimi viri exemplo. si placuerint, boni consules; si displicuerint, scies me in hoc secutum Ciceronis exemplum.*

*duc, o parens celsique dominator poli,*
*quocumque placuit; nulla parendi mora est.*
*adsum impiger. fac nolle, comitabor gemens,*
*malusque patiar, quod pati licuit bono.*
*ducunt volentem fata, nolentem trahunt.*

## De Natura Deorum.

(Vol. II p. 299.)

**528** Cicero de nat. deor. II 13—15. *Cleanthes quidem noster quattuor de causis dixit, in animis hominum informatas deorum esse notiones. primam posuit eam, de qua modo dixi, quae orta esset ex praesensione rerum futurarum; alteram, quam ceperimus ex magnitudine commodorum, quae percipiuntur caeli temperatione, fecunditate terrarum, aliarumque commoditatum complurium copia;* 14. *tertiam quae terreret animos fulminibus, tempestatibus, nimbis, nivibus, grandinibus, vastitate, pestilentia, terrae motibus et saepe fremitibus, lapideisque imbribus et guttis imbrium quasi cruentis, tum labibus aut repentinis terrarum hiatibus, tum praeter naturam hominum pecudumque portentis, tum facibus visis caelestibus, tum stellis iis, quas Graeci cometas, nostri cincinnatas vocant ... tum sole geminato ... quibus exterriti homines vim quandam esse caelestem et divinam suspicati sunt.* 15. *quartam causam esse, eamque vel maximam, aequabilitatem motus conversionum⟨que⟩ caeli, solis, lunae, siderumque omnium distinctionem, varietatem, pulchritudinem, ordinem, quarum rerum aspectus ipse satis indicaret non esse ea fortuita.* — Cic. de nat. deor. III 16. *nam Cleanthes, ut dicebas, quattuor modis formatas in animis hominum putat deorum esse notiones. unus is modus est ... qui est susceptus ex praesensione rerum futurarum. alter ex perturbationibus tempestatum et reliquis motibus. tertius ex commoditate rerum quas percipimus et copia. quartus ex astrorum ordine caelique constantia.*

**529** Sextus adv. math. IX 88. ὁ δὲ *Κλεάνθης* οὕτως συνηρώτα· εἰ φύσις φύσεώς ἐστι κρείττων, εἴη ἄν τις ἀρίστη φύσις· εἰ ψυχὴ ψυχῆς ἐστι κρείττων, εἴη ἄν τις ἀρίστη ψυχή· καὶ εἰ ζῷον τοίνυν κρεῖττόν ἐστι ζῴου, εἴη ἄν τι κράτιστον ζῷον. οὐ γὰρ εἰς ἄπειρον ἐκπίπτειν πέφυκε τὰ τοιαῦτα. ὥσπερ οὖν οὔτε ἡ φύσις ἐδύνατο ἐπ'

---

18 labibus *Gulielmius*, lapidibus *libri*. 23 conversionumque *Vahlen*, conversionem *cod.* 36 οὐδὲ libri, corr. Bekker.

ἄπειρον αὔξεσθαι κατὰ τὸ κρεῖττον οὔθ' ἡ ψυχή, οὐδὲ τὸ ζῷον. (89) ἀλλὰ μὴν ζῷον ζῴου κρεῖττόν ἐστιν, ὡς ἵππος χελώνης, εἰ τύχοι, καὶ ταῦρος ὄνου καὶ λέων ταύρου· πάντων δὲ σχεδὸν τῶν ἐπιγείων ζῴων καὶ σωματικῇ καὶ ψυχικῇ διαθέσει προέχει τε καὶ κρατιστεύει ὁ ἄνθρωπος. τοίνυν κράτιστον ἂν εἴη ζῷον καὶ ἄριστον. (90) καί⟨τοι⟩ οὐ πάνυ τι ὁ ἄνθρωπος κράτιστον εἶναι δύναται ζῷον, οἷον εὐθέως ὅτι διὰ κακίας πορεύεται τὸν πάντα χρόνον, εἰ δὲ μή γε, τὸν πλεῖστον (καὶ γὰρ εἴ ποτε περιγένοιτο ἀρετῆς, ὀψὲ καὶ πρὸς ταῖς τοῦ βίου δυσμαῖς περιγίγνεται), ἐπίκηρόν τ' ἐστὶ καὶ ἀσθενὲς καὶ μυρίων δεόμενον βοηθημάτων, καθάπερ τροφῆς καὶ σκεπασμάτων καὶ τῆς ἄλλης τοῦ σώματος ἐπιμελείας, πικροῦ τινος τυράννου τρόπον ἐφεστῶτος ἡμῖν καὶ τὸν πρὸς ἡμέραν δασμὸν ἀπαιτοῦντος, καὶ εἰ μὴ παρέχοιμεν ὥστε λούειν αὐτὸ καὶ ἀλείφειν καὶ περιβάλλειν καὶ τρέφειν, νόσους καὶ θάνατον ἀπειλοῦντος. ὥστε οὐ τέλειον ζῷον ὁ ἄνθρωπος, ἀτελὲς δὲ καὶ πολὺ κεχωρισμένον τοῦ τελείου. (91) τὸ δὲ τέλειον καὶ ἄριστον κρεῖττον μὲν ἂν ὑπάρχοι ἀνθρώπου καὶ πάσαις ταῖς ἀρεταῖς συμπεπληρωμένον καὶ παντὸς κακοῦ ἀνεπίδεκτον· τοῦτο δὲ οὐ διοίσει θεοῦ. ἔστιν ἄρα θεός. — cf. Cic. de nat. deor. II 33—36.

**530** Cicero de nat. deor. I 37. *Cleanthes autem, qui Zenonem audivit una cum eo, quem proxime nominavi (scil. Aristone), tum ipsum mundum deum dicit esse,*

*tum totius naturae menti atque animo tribuit hoc nomen,*

*tum ultimum et altissimum atque undique circumfusum et extremum omnia cingentem atque complexum ardorem, qui aether nominetur, certissimum deum iudicat;*

*idemque quasi delirans in iis libris, quos scripsit contra voluptatem,*

*tum fingit formam quandam et speciem deorum,*

*tum divinitatem omnem tribuit astris,*

*tum nihil ratione censet divinius.*

**531** Philodemus περὶ εὐσεβ. c. 9 (DDG p. 544). λόγον ἡγούμ⟨ενον τῶν⟩ ἐν ⟨τ⟩ῷ κόσ⟨μῳ⟩.

Cicero de nat. deor. I 37. *tum nihil ratione censet esse divinius.*

Philodemi frustulum ad Cleanthem probabiliter refertur, cum propter locum, quem inter fragmenta obtinet (p. 75 Gomp.) tum propter Ciceronis similitudinem; qui hunc locum libris κατὰ τῆς ἡδονῆς tribuit.

**532** Aëtius I 7, 17 (DDG p. 302b 15). Διογένης καὶ Κλεάνθης καὶ Οἰνοπίδης (τὸν θεὸν) τὴν τοῦ κόσμου ψυχήν.

---

1 οὐδὲ necessario scribitur, οὔτε libri.  5 καί⟨τοι⟩ Wachsm.; καὶ libri; ἀλλὰ Bk.

Cicero de nat. deor. I 37. *tum totius naturae menti atque animo tribuit hoc nomen.* — Minucius Octav. XIX 10. *Theoprastus et Zeno et Chrysippus et Cleanthes sunt et ipsi multiformes, sed ad unitatem providentiae omnes revolvuntur. Cleanthes enim mentem, modo animum, modo aethera, plerumque rationem Deum disseruit.*

**533** Tertullianus Apol. 21. *haec Cleanthes in spiritum congerit quem permeatorem universitatis affirmat.*

**534** Cicero de nat. deor. I 37. *tum ultimum et altissimum atque undique circumfusum et extremum omnia cingentem atque complexum ardorem, qui aether nominetur, certissimum deum iudicat.* — Lactantius Inst. I 5. *Cleanthes et Anaximenes aethera dicunt esse summum Deum.*

**535** Plutarchus de aud. poët. 11 p. 31d. δεῖ δὲ μηδὲ τῶν ὀνομάτων ἀμελῶς ἀκούειν, ἀλλὰ τὴν μὲν Κλεάνθους παιδιὰν παραιτεῖσθαι. κατειρωνεύεται γάρ ἔστιν ὅτε προσποιούμενος ἐξηγεῖσθαι τὸ (Γ 320)

Ζεῦ πάτερ Ἴδηθεν μεδέων

καὶ τὸ (Π 233)

Ζεῦ ἄνα Δωδωναῖε

κελεύων ἀναγιγνώσκειν ὑφ' ἕν, ὡς τὸν ἐκ τῆς γῆς ἀναθυμιώμενον ἀέρα διὰ τὴν ἀνάδοσιν ἀναδωδωναῖον ὄντα.

Schol. BL Hom. Π 233

Ζεῦ ἄνα Δωδωναῖε]

τινὲς δὲ ἀναδωδωναῖε ὑφ' ἓν παρὰ τὴν ἀνάδοσιν τῶν ἀγαθῶν.

**536** Plutarchus de comm. not. 31 p. 1066a. ἀλλὰ Χρύσιππος καὶ Κλεάνθης ἐμπεπληκότες, ὡς ἔπος εἰπεῖν, τῷ λόγῳ θεῶν τὸν οὐρανόν, τὴν γῆν, τὸν ἀέρα, τὴν θάλατταν, οὐδένα τῶν τοσούτων ἄφθαρτον οὐδ' ἀΐδιον ἀπολελοίπασι, πλὴν μόνου τοῦ Διός, εἰς ὃν πάντας καταναλίσκουσι τοὺς ἄλλους ... ταῦτα δὲ οὐ ... τοῖς δόγμασιν ἕπεται, ἀλλ' αὐτοὶ μέγα βοῶντες ἐν τοῖς περὶ θεῶν καὶ προνοίας εἱμαρμένης τε καὶ φύσεως γράμμασι διαῤῥήδην λέγουσι, τοὺς ἄλλους θεοὺς ἅπαντας εἶναι γεγονότας καὶ φθαρησομένους ὑπὸ πυρός, τηκτοὺς κατ' αὐτοὺς ὥσπερ κηρίνους ἢ καττιτερίνους ὄντας.

**537** Stobaeus Ecl. I 1, 12 p. 25, 3. Κλεάνθους.

Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεί,
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
ἐκ σοῦ γὰρ γένος εἴσ' ἤχου μίμημα λαχόντες

---

6 antecedunt verba in Zenonis frg. n. 160 posita. 35 Ζεὺς F, corr. Brunck. 36 πᾶσι F, corr. Scaliger. 37 εἴσ' scripsi, ut metrum sanarem; ἐσμέν F, quod ex Arati versu: τοῦ γὰρ καὶ γένος εἰμέν facile potuit irrepere. ‖ ἤχου μίμημα multis illud coniecturis temptatum recte dici puto de musica vel

μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν·
τῷ σε καθυμνήσω καὶ σὸν κράτος αἰὲν ἀείσω.
σοὶ δὴ πᾶς ὅδε κόσμος, ἑλισσόμενος περὶ γαῖαν,
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ὑπὸ χερσὶν
ἀμφήκη, πυρόεντα, ἀειζώοντα κεραυνόν·
τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἔργα <τελεῖται>·
ᾧ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων
φοιτᾷ, μιγνύμενος μεγάλοις μικροῖς τε φάεσσι·
ᾧ σὺ τόσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντός.
οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον οὔτ' ἐνὶ πόντῳ,
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέραισιν ἀνοίαις·
ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι,
καὶ κοσμεῖν τἄκοσμα καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.
ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσι,
δύσμοροι, οἵ τ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες
οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον, οὔτε κλύουσιν,
ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ' ἄλλο,
οἱ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,
οἱ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
ἄλλοι δ' εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα.
<ἀλλὰ κακοῖς ἐπέκυρσαν>, ἐπ' ἄλλοτε δ' ἄλλα φέρονται
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀργικέραυνε,
ἀνθρώπους <μὲν> ῥύου ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι

cantu, qui sonis aliquid imitatur; eo refertur τῷ v. 6. 2 ἀίδω F, ἀείσω vulgo. 3 δὲ F, corr. Scaliger. 4 σοῖο F, corr. Ursinus. 5 ἐνὶ χερσὶν Brunck. 7 ἔργα <τελεῖται> scripsi, ἔρηγα F, unde Ursinus scripsit ἐρρίγασιν; sed πάντα substantivum desiderat. Cum de fulmine loquitur Cleanthes, de toto igni divino cogitat. 8 λόγον κοινὸν F, corr. Ursinus. 9 μεγάλων μικροῖσι F, corr. Brunck. 10 ᾧ σὺ τόσος scripsi, ὡς τόσσος F; damnat versum 14 Pearson, ante eum lacunam statuit Wachsm. 12 ἐνὶ Brunck, ἐπὶ F. 14 περισσά <τ'> Sauppe. 15 τἄκοσμα Sauppe, τὰ ἄκοσμα F. 16 ἅπαντα Brunck. 17 λόγων F, corr. Ursinus. ‖ ἐόντων F, corr. Brunck. 21 οἵ F, corr. Ursinus. 22 ἄνοι Wachsm. (ut oppositum sit verbis σὺν νῷ v. 25), ἄνευ F. ‖ κακοῦ F, corr. Sauppe. ‖ ἄλλα F, corr. Sauppe. 26 <ἀλλὰ κακοῖς ἐπέκυρσαν> exempli causa lacunam supplevi. ‖ φέροντες F, corr. Meineke. 28 ἀρχικέραυνε F, corr. Meineke. 29 μὲν add. Scaliger, εἴρυσσαι maluit Petersen.

*γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,*
*ὄφρ' ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,*
*ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε*
*θνητὸν ἐόντ', ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον,*
*οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.*

**538** Epiphanius adv. Haeres. III 2, 9 (III 37) DDG p. 592, 30. *Κλεάνθης τὸ ἀγαθὸν καὶ καλὸν λέγει εἶναι τὰς ἡδονάς, καὶ ἄνθρωπον ἐκάλει μόνην τὴν ψυχήν, καὶ τοὺς θεοὺς μυστικὰ σχήματα ἔλεγεν εἶναι καὶ κλήσεις ἱεράς, καὶ δᾳδοῦχον ἔφασκεν εἶναι τὸν ἥλιον, καὶ τὸν κόσμον μυστήριον καὶ τοὺς κατόχους τῶν θείων τελεστὰς ἔλεγε.*

**539** Philodemus *περὶ εὐσεβ.* cp. 13 (DDG p. 547b). *ἐν δὲ τῷ δευτέ(ρῳ)* (scil. *περὶ θεῶν Χρύσιππος*) *τά τ(ε) εἰς Ὀρφέα (καὶ Μ)ουσαῖον ἀναφε(ρόμ)ε(ν)α καὶ (τ)ὰ παρ' (Ὁ)μήρῳ καὶ Ἡσιόδ(ῳ) καὶ Εὐρι(π)ίδῃ καὶ ποιηταῖς ἄλλοις, (ὡ)ς κα(ὶ) Κλεάνθης, (π)ειρᾶτα(ι συν)οικειοῦ(ν) ταῖς δόξαις αὐτῶ(ν).*

**540** Macrobius Sat. I 17, 8. *Cleanthes (Apollinem) ὡς ἀπ' ἄλλων καὶ ἄλλων τόπων τὰς ἀνατολὰς ποιούμενον, quod ab aliis atque aliis locorum declinationibus faciat ortus.*

**541** Macrobius Sat. I 17, 36. *Cleanthes Lycium Apollinem appellatum notat quod, veluti lupi pecora rapiunt, ita ipse quoque humorem eripit radiis.*

**542** Macrobius Sat. I 17, 31. *Λοξίας cognominatur, ut ait Oenopides, ὅτι ἐκπορεύεται τὸν λοξὸν κύκλον ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς κινούμενος, id est quod obliquum circulum ab occasu ad orientem pergit: aut, ut Cleanthes scribit, ἐπειδὴ καθ' ἕλικας κινεῖται, λοξαὶ γάρ εἰσι καὶ αὗται, quod flectuosum iter pergit.*

Cf. Achilles Tat. Isag. 169 A. *ὁ ζῳδιακὸς καὶ λοξίας ὑπό τινων καλεῖται, ἐπειδὴ ἥλιος τὰς ὁδοὺς ἐν αὐτῷ πορεύεται λοξός. ἐν δὲ τῷ ἡλίῳ ὁ Ἀπόλλων, ὃς καλεῖται Λοξίας ὑπὸ τῶν ποιητῶν, εἶναι πιστεύεται.* — Cornutus c. 32: *λοξῶν δὲ καὶ περισκελῶν ὄντων τῶν χρησμῶν οὓς δίδωσι, Λοξίας ὠνόμασται· ἢ ἀπὸ τῆς λοξότητος τῆς πορείας ἣν ποιεῖται διὰ τοῦ ζῳδιακοῦ κύκλου.*

**543** Photius s. v. *λέσχαι. Κλεάνθης δέ φησιν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι, καὶ αὐτὸν δὲ τὸν Ἀπόλλω παρ' ἐνίοις Λεσχηνόριον ἐπικαλεῖσθαι.* — Eadem Suidas s. v. *λέσχαι.* — Harpocration s. v. in libro *περὶ θεῶν* haec tradita esse testatur. — Causam cognominis accuratius explicat Cornutus c. 32.

---

2 *ἀμειβώμεσθα* F. 4 *οὔτε* Cudworth, *οὗτοι* F. ‖ *ἄλλοτε* F, corr. Brunck. 10 *μυστήριον* Diels in adn., *μύστας* vulgo. ‖ *τελεστὰς* A. Jahn, *τελετὰς* vulgo. Cf. Dio Prus. XII § 34. Plut. de tranq. an. 20 p. 477 c d. 12 Cf. Vol. II p. 316 n. 1078.

καὶ λεσχηνόριον δ' αὐτὸν (Ἀπόλλωνα) προσηγόρευσαν διὰ τὸ τὰς ἡμέρας ταῖς λέσχαις καὶ τῷ ὁμιλεῖν ἀλλήλοις συνέχεσθαι τοὺς ἀνθρώπους, τὰς δὲ νύκτας καθ' ἑαυτοὺς ἀναπαύεσθαι. — Cf. Plut. de Ei apud Delphos cp. 2.

**544** Schol. in Hom. Il. Γ 64. *Κλεάνθης* δὲ ἐν Λέσβῳ οὕτω τιμᾶσθαι χρυσῆν Ἀφροδίτην.

**545** [Athenaeus XIII 572f. πόρνης δὲ Ἀφροδίτης ἱερόν ἐστι παρὰ Ἀβυδηνοῖς, ὥς φησι Πάμφιλος· κατεχομένης γὰρ τῆς πόλεως δουλείᾳ τοὺς φρουροὺς τοὺς ἐν αὐτῇ ποτε θύσαντας, ὡς ἱστορεῖ Κλεάνθης ἐν τοῖς Μυθικοῖς, καὶ μεθυσθέντας ἑταίρας πλείονας προσλαβεῖν· ὧν μίαν, κατακοιμηθέντας αὐτοὺς ἰδοῦσαν, ἀνελομένην τὰς κλεῖς καὶ τὸ τεῖχος ὑπερβᾶσαν, ἀπαγγεῖλαι τοῖς Ἀβυδηνοῖς. τοὺς δ' αὐτίκα μεθ' ὅπλων ἀφικομένους, ἀνελεῖν μὲν τοὺς φύλακας, κρατήσαντας δὲ τῶν τειχῶν καὶ γενομένους ἐγκρατεῖς τῆς ἐλευθερίας χαριστήρια τῇ πόρνῃ ἀποδιδόντας Ἀφροδίτης Πόρνης ναὸν ἱδρύσασθαι.]

*[A Cleanthe Stoico haec aliena sunt. Νεάνθης scripsit pro Κλεάνθης, Cyzicenum intellegens,* Mueller Frg. Hist. Gr. II p. 5. 9. 11. *Eum secuti sunt Kaibelius in editione Athenaei et Zeller.]*

**546** Macrobius Sat. I 18, 14. *unde Cleanthes ita cognominatum scribit (Dionysum)* ἀπὸ τοῦ διανύσαι, *quia cotidiano impetu ab oriente ad occasum diem noctemque faciendo caeli conficit cursum.*

**547** Plutarchus de Is. et Osir. 66 p. 377d. Φερσεφόνην δέ φησί που *Κλεάνθης* τὸ διὰ τῶν καρπῶν φερόμενον καὶ φονευόμενον πνεῦμα.

## De Providentia et Divinatione.

(Vol. II p. 322 et 342.)

**548** Philo de provid. II 74 p. 94 Aucher: *Numerus autem planetarum prodest universo; verum hominum est otio praeditorum dinumerare singulorum utilitatem. Haec autem nota sunt non solum ratione, verum etiam sensu, ita movente providentia, quae, ut dicit Chrysippus et Cleanthes, nihil praetermisit pertinentium ad certiorem utilioremque dispensationem. quod si aliter melius esset dispensari res mundi, eo modo sumpsisset compositionem, qua tenus nihil occurreret ad impediendum deum.*

**549** Schol. in Hom. Od. α 52 (Cramer Anecd. Oxon. III 416). ὀλοόφρονος] Κλεάνθης δασύνει· τοῦ περὶ τῶν ὅλων φρονοῦντος. — Eustath. in Hom. p. 1389,55. τὸν Ἄτλαντα ... οἱ μὲν ἀλληγοροῦσιν

---

3 Cornutum fuisse Cleanthis inprimis studiosum testatur Pers. Sat. 5, 63 (Pearson).

εἰς τὴν ἀκάματον καὶ ἀκοπίατον πρόνοιαν, τὴν πάντων αἰτίαν, καὶ ὁλόφρονα τὸν τοιοῦτον Ἄτλαντα νοοῦσιν, ὡς τὸν ὑπὲρ ὅλων φρονοῦντα ἤγουν τῶν ὅλων φροντιστικόν. διὸ καὶ ὁ Κλεάνθης, ὥς φασιν, ἐδάσυνε τὸ ὅ τῆς ἀρχούσης. — Cornutus c. 26. ὁλοόφρονα δ' αὐτὸν (Ἄτλαντα) εἰρῆσθαι διὰ τὸ περὶ τῶν ὅλων φροντίζειν καὶ προνοεῖσθαι τῆς πάντων αὐτοῦ τῶν μερῶν σωτηρίας.

**550** Cicero de divin. I 6. *Sed cum Stoici omnia fere illa defenderent, quod et Zeno in suis commentariis quasi semina quaedam sparsisset et ea Cleanthes paulo uberiora fecisset etc.*

**551** Chalcidius in Tim. c. 144. *ex quo fieri ut, quae secundum fatum sunt, etiam ex providentia sint, eodemque modo quae secundum providentiam, ex fato, ut Chrysippus putat. alii vero quae quidem ex providentiae auctoritate, fataliter quoque provenire, nec tamen quae fataliter, ex providentia, ut Cleanthes.*

## C. Fragmenta moralia

### De Fine Bonorum.

(Vol. III p. 3 sq.)

**552** Stobaeus Ecl. II 7, 6a, p. 76, 3. Κλεάνθης . . . οὕτως ἀπέδωκε· τέλος ἐστὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν. — Cf. Diog. Laërt. VII 87. ὁ Ζήνων — τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν· ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν· ἄγει γὰρ πρὸς ταύτην ἡμᾶς ἡ φύσις· ὁμοίως δὲ καὶ Κλεάνθης ἐν τῷ περὶ ἡδονῆς. — Clemens Alex. Strom. II 21, 129 p. 497 P. Κλεάνθης δὲ (scil. τέλος ἡγεῖται) τὸ ὁμολογουμένως τῇ φύσει ζῆν * ἐν τῷ εὐλογιστεῖν, ὃ ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ κεῖσθαι διελάμβανεν.

**553** Cicero de fin. II 69. *pudebit te illius tabulae, quam Cleanthes sane commode verbis depingere solebat. iubebat eos, qui audiebant, secum ipsos cogitare pictam in tabula Voluptatem, pulcherrimo vestitu et ornatu regali in solio sedentem; praesto esse Virtutes ut ancillulas, quae nihil aliud agerent, nullum suum officium ducerent, nisi ut Voluptati ministrarent et eam tantum ad aurem admonerent, si modo id pictura intellegi posset, ut caveret, ne quid faceret imprudens, quod offenderet animos hominum, aut quicquam, e quo oreretur aliquis dolor. „nos quidem Virtutes sic natae sumus, ut tibi serviremus; aliud negotii nihil habemus."*

Cf. Aug. de civit. dei V 20. *solent philosophi, qui finem boni humani in ipsa virtute constituunt, ad ingerendum pudorem quibusdam*

---

7 illa] scil. divinationis genera. 24 verba ἐν τῷ — διελάμβανεν nihil ad Cleanthem pertinent. Cf. Diog. Babyl. fr. 44—46 Vol. III p. 219.

*philosophis, qui virtutes quidem probant, sed eas voluptatis corporalis fine metiuntur et illam per se ipsam putant adpetendam, istas propter ipsam, tabulam quandam verbis pingere, ubi voluptas in sella regali quasi delicata quaedam regina considat, eique virtutes famulae subiciantur, observantes eius nutum, ut faciant quod illa imperaverit; quae prudentiae iubeat, ut vigilanter inquirat, quo modo voluptas regnet et salva sit; iustitiae iubeat, ut praestet beneficia, quae potest, ad comparandas amicitias corporalibus commodis necessarias, ⟨et⟩ nulli faciat iniuriam, ne offensis legibus voluptas vivere secura non possit; fortitudini iubeat, ut si dolor corpori acciderit, qui non compellat in mortem, teneat dominam suam, id est voluptatem, fortiter in animi cogitatione, ut per pristinarum deliciarum suarum recordationem mitiget praesentis doloris aculeos; temperantiae iubeat, ut tantum capiat alimentorum et si qua delectant, ne per immoderationem noxium aliquid valetudinem turbet et voluptas, quam etiam in corporis sanitate Epicurei maximam ponunt, graviter offendatur. ita virtutes cum tota suae gloria dignitatis tanquam imperiosae cuidam et inhonestae mulierculae servient voluptati; nihil hac pictura dicunt esse ignominiosius et deformius et quod minus ferre bonorum possit aspectus; et verum dicunt.*

**554** Stobaeus Ecl. II 7, 6e, p. 77, 21 W. *εὐδαιμονία δ' ἐστὶν εὔροια βίου. κέχρηται δὲ καὶ Κλεάνθης τῷ ὅρῳ τούτῳ ἐν τοῖς ἑαυτοῦ συγγράμμασι καὶ ὁ Χρύσιππος καὶ οἱ ἀπὸ τούτων πάντες, τὴν εὐδαιμονίαν εἶναι λέγοντες οὐχ ἑτέραν τοῦ εὐδαίμονος βίου, καίτοι γε λέγοντες τὴν μὲν εὐδαιμονίαν σκοπὸν ἐκκεῖσθαι, τέλος δ' εἶναι τὸ τυχεῖν τῆς εὐδαιμονίας, ὅπερ ταυτὸν εἶναι τῷ εὐδαιμονεῖν.* — Sextus adv. math. XI 30. *εὐδαιμονία δέ ἐστιν, ὡς οἱ περὶ τὸν Κλεάνθην, εὔροια βίου.*

**555** Diogenes Laërt. VII 89. *φύσιν δὲ Χρύσιππος μὲν ἐξακούει, ᾗ ἀκολούθως δεῖ ζῆν, τήν τε κοινὴν καὶ ἰδίως τὴν ἀνθρωπίνην· ὁ δὲ Κλεάνθης τὴν κοινὴν μόνην ἐκδέχεται φύσιν, ᾗ ἀκολουθεῖν δεῖ, οὐκέτι δὲ καὶ τὴν ἐπὶ μέρους.*

**556** Stobaeus Floril. 6, 66 Vol. I p. 304 Hense, 6, 37 Mein. *Κλεάνθης ἔλεγεν, εἰ τέλος ἐστὶν ἡ ἡδονή, πρὸς κακοῦ τοῖς ἀνθρώποις τὴν φρόνησιν δεδόσθαι.*

## De Bono et Honesto.

**557** Clemens Alex. Protrept. VI 72 p. 61 P. *Κλεάνθης δὲ ὁ Ἀσσεύς, ὁ ἀπὸ τῆς Στοᾶς φιλόσοφος, ὃς οὐ θεογονίαν ποιητικήν,*

---

8 et *inserui.* 20 nihil in hoc loco ad Cleanthem referri potest praeter ipsam definitionem beatitudinis. 31 ad ea, quae porro secuntur ap. Diog., Cleanthis nomen non pertinere certum est. 34 *δίδοσθαι* libri, corr. Meineke.

θεολογίαν δὲ ἀληθινὴν ἐνδείκνυται, οὐκ ἀπεκρύψατο τοῦ θεοῦ πέρι ὅτι περ εἶχεν φρονῶν·

τἀγαθὸν ἐρωτᾷς μ' οἷον ἔστ'; ἄκουε δή·
τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές,
κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλόν, δέον,
αὐστηρόν, αὐθέκαστον, αἰεὶ συμφέρον,
ἄφοβον, ἄλυπον, λυσιτελές, ἀνώδυνον,
ὠφέλιμον, εὐάρεστον, ἀσφαλές, φίλον,
ἔντιμον, ⟨εὐχάριστον⟩, ὁμολογούμενον,
εὐκλεές, ἄτυφον, ἐπιμελές, πρᾶον, σφοδρόν,
χρονιζόμενον, ἄμεμπτον, αἰεὶ διαμένον.

Idem Strom. V 14, 110 p. 715 P. Κλεάνθους τε τοῦ Στωϊκοῦ ἔν τινι ποιήματι περὶ τοῦ θεοῦ ταῦτα γεγραφότος ἄκουε· (*secuntur idem versus, sed omittuntur in codice verba* ἀσφαλές, φίλον, ἔντιμον, *ut* ὁμολογούμενον *sequatur illud* εὐάρεστον). Hunc locum exscribit Euseb. praep. evang. XIII 13 p. 679, versus 6, 7 eadem forma praebet, qua locus Protreptici, unde colligitur ipsum Clementem Strom. V eandem versuum formam exhibuisse quam in Protreptico, verba ἀσφαλὲς — ἔντιμον omisisse librarium.

**558** Clemens Alex. Strom. II 22, 131 p. 499 P. διὸ καὶ Κλεάνθης ἐν τῷ δευτέρῳ περὶ ἡδονῆς τὸν Σωκράτην φησὶ παρ' ἕκαστα διδάσκειν, ὡς ὁ αὐτὸς δίκαιός τε καὶ εὐδαίμων ἀνήρ, καὶ τῷ πρώτῳ διελόντι τὸ δίκαιον ἀπὸ τοῦ συμφέροντος καταρᾶσθαι, ὡς ἀσεβές τι πρᾶγμα δεδρακότι· ἀσεβεῖς γὰρ τῷ ὄντι οἱ τὸ συμφέρον ἀπὸ τοῦ δικαίου τοῦ κατὰ νόμον χωρίζοντες.

Cf. Cicero de off. III 11. *itaque accepimus Socratem exsecrari solitum eos, qui primum haec natura cohaerentia opinione distraxissent. cui quidem ita sunt Stoici assensi, ut et quidquid honestum esset, id utile esse censerent, nec utile quicquam, quod non honestum.* — id. de leg. I 33. *recte Socrates exsecrari eum solebat, qui primus utilitatem a iure seiunxisset: id enim querebatur caput esse exitiorum omnium.*

## De Indifferentibus.

(Vol. III p. 28.)

**559** Clemens Alex. Strom. V 3, 17 p. 655 P. καὶ ἡ Κλεάνθους δὲ τοῦ Στωικοῦ φιλοσόφου ποιητικὴ ὧδέ πως τὰ ὅμοια γράφει

μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι,
μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα βάξιν·

1 errat Clemens, cum ad deum refert, quae de honesto dicuntur. 9 εὐχάριστον supplevi. 31 a iure *C. F. W. Mueller*, naturae *libri*. 37 βάξιν Meineke, δόξαν cod., quod neque potuit mutata significatione repeti (vs. 1) ne-

οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν, οὔτε δικαίαν
οὔτε καλήν, ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτό κεν εὕροις.

**560** Clemens Alex. Strom. V 14, 110 p. 715 P. ὁ δὲ αὐτὸς (*Κλεάνθης*) κατὰ τὸ σιωπώμενον τὴν τῶν πολλῶν διαβάλλων εἰδωλολατρίαν ἐπιφέρει·

ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει,
ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινος.

idem Protrept. VI 72 p. 61 P. hos versus adiungit versibus de bono fr. 557, a quibus alieni sunt.

**561** Mantiss. proverb. (in paroemiogr. Gr. vol. II p. 757) cent. I 85.

κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.

Κλεάνθους. — „Inter ecclesiasticorum scriptorum sententias hic trimeter laudatur ab Antonio Meliss. I 53 et a Maximo 10, vid. Gregor. Nazianz. carm. p. 157d.“ (Wachsm. Comm. II p. 8).

**562** Plutarchus de Aud. Poet. c. 12 p. 33c. ὅθεν οὐδ' αἱ παραδιορθώσεις φαύλως ἔχουσιν, αἷς καὶ Κλεάνθης ἐχρήσατο καὶ Ἀντισθένης· ὁ μέν κ.τ.λ. ... ὁ δὲ Κλεάνθης περὶ τοῦ πλούτου (Eur. El. 428)

φίλοις τε δοῦναι σῶμά τ' εἰς νόσους πεσὸν
δαπάναισι σῶσαι,

μεταγράφων οὕτω·

πόρναις τε δοῦναι σῶμά τ' εἰς νόσους πεσὸν
δαπάναις ἐπιτρῖψαι.

Dio Chrysost. or. VII § 103 (Vol. I p. 208, 9 Arn.). ἐπεὶ καὶ αὐτοῖς τούτοις τοῖς ἔπεσιν (scil. Eur. El. 428) ἀντείρηκε τῶν πάνυ φιλοσόφων τις, ὃν οὐδείς, ἐμοὶ δοκεῖν, φαίη ἄν ποτε φιλονικοῦντα τούτοις τε ἀντειρηκέναι καὶ τοῖς ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις, ἐκείνοις μὲν ἐπ' ὀλίγον, τοῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον, οὐ μήν, ὥσπερ νῦν ἡμεῖς, διὰ μακρῶν, ἅτε οὐ παραχρῆμα κατὰ πολλὴν ἐξουσίαν διεξιών, ἀλλ' ἐν βίβλοις γράφων.

## De Virtute.

(Vol. III p. 48.)

**563** Plutarchus de Sto. Rep. cp. 7 p. 1034d. ὁ δὲ Κλεάνθης ἐν ὑπομνήμασι φυσικοῖς εἰπὼν ὅτι „πληγὴ πυρὸς ὁ τόνος ἐστί, κἂν ἱκανὸς ἐν τῇ ψυχῇ γένηται πρὸς τὸ ἐπιτελεῖν τὰ ἐπιβάλλοντα, ἰσχὺς καλεῖται καὶ κράτος,“ ἐπιφέρει κατὰ λέξιν, „ἡ δ' ἰσχὺς αὕτη καὶ τὸ κράτος, ὅταν μὲν ἐν τοῖς φανεῖσιν ἐμμενετέοις ἐγγένηται, ἐγκρά-

que cum ἀναιδέα coniungi, quia ἀναίδεια non nisi in factis dictisve conspicitur. 36 ἐν scripsi, ἐπὶ vulgo. ‖ φανεῖσιν Hirzel, ἐπιφανέσιν libri. Cf. Zenonis fr. n. 200.

τειά ἐστιν· ὅταν δ' ἐν τοῖς ὑπομενετέοις, ἀνδρεία· περὶ τὰς ἀξίας δὲ δικαιοσύνη· περὶ τὰς αἱρέσεις καὶ ἐκκλίσεις σωφροσύνη."

Cf. Stobaeus Ecl. II 7, 5b4, p. 62, 24 W. καὶ ὁμοίως ὥσπερ ἰσχὺς τοῦ σώματος τόνος ἐστὶν ἱκανὸς ἐν νεύροις, οὕτω καὶ ἡ τῆς ψυχῆς ἰσχὺς τόνος ἐστὶν ἱκανὸς ἐν τῷ κρίνειν καὶ πράττειν ἢ μή.

**564** Themistius Or. II 27 C. εἰ δὲ αὖ φήσειέ τις κολακείαν εἶναι τῷ Πυθίῳ παραβάλλειν τὸν βασιλέα, Χρύσιππος μὲν ὑμῖν καὶ Κλεάνθης οὐ συγχωρήσει καὶ ὅλον ἔθνος φιλοσοφίας [ἢ] ὁ ἐκ τῆς ποικίλης χορός, οἱ φάσκοντες εἶναι τὴν αὐτὴν ἀρετὴν καὶ ἀλήθειαν ἀνδρὸς καὶ θεοῦ.

Cf. Proclus in Plat. Tim. II 106f. οἱ δὲ ἀπὸ τῆς Στοᾶς καὶ τὴν αὐτὴν ἀρετὴν εἶναι θεῶν καὶ ἀνθρώπων εἰρήκασιν. — Cic. de leg. I 25. *iam vero virtus eadem in homine ac deo est neque alio ullo ingenio praeterea.*

**565** Diogenes Laërt. VII 92. πλείονας (εἶναι ἀρετὰς ἢ τέτταρας) οἱ περὶ Κλεάνθην καὶ Χρύσιππον καὶ Ἀντίπατρον.

**566** Stobaeus ecl. II 65, 7 W. ἀρετῆς δὲ καὶ κακίας οὐδὲν εἶναι μεταξύ. πάντας γὰρ ἀνθρώπους ἀφορμὰς ἔχειν ἐκ φύσεως πρὸς ἀρετήν, καὶ οἱονεὶ τὸν τῶν ἡμιαμβείων λόγον ἔχειν, κατὰ Κλεάνθην· ὅθεν ἀτελεῖς μὲν ὄντας εἶναι φαύλους, τελειωθέντας δὲ σπουδαίους.

**567** Diogenes Laërt. VII 91. διδακτήν τε εἶναι αὐτὴν (λέγω δὲ τὴν ἀρετὴν) καὶ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ τέλους φησὶ καὶ Κλεάνθης, καὶ Ποσειδώνιος ἐν τοῖς προτρεπτικοῖς.

**568** Diogenes Laërt. VII 127. καὶ μὴν τὴν ἀρετὴν Χρύσιππος μὲν ἀποβλητήν, Κλεάνθης δὲ ἀναπόβλητον, ὁ μὲν ἀποβλητὴν διὰ μέθην καὶ μελαγχολίαν, ὁ δὲ ἀναπόβλητον διὰ βεβαίους καταλήψεις.

**569** Diogenes Laërt. VII 128. ἀρέσκει δὲ αὐτοῖς καὶ διὰ παντὸς χρῆσθαι τῇ ἀρετῇ, ὡς οἱ περὶ Κλεάνθην φασίν. ἀναπόβλητος γάρ ἐστι· καὶ πάντοτε τῇ ψυχῇ χρῆται οὔσῃ τελείᾳ ὁ σπουδαῖος.

## De Affectibus.

(Vol. III p. 92.)

**570** Galenus de Hipp. et Plat. plac. V 6 (Vol. V p. 476 K., p. 456 Iu. Mueller.). τὴν μὲν οὖν τοῦ Κλεάνθους γνώμην ὑπὲρ τοῦ παθητικοῦ τῆς ψυχῆς ἐκ τῶνδε φαίνεσθαί φησι τῶν ἐπῶν.

*Λογισμός.* τί ποτ' ἔσθ' ὃ βούλει, θυμέ; τοῦτό μοι φράσον.
*Θυμός.* ⟨σ⟩έ γ', ὦ λογισμέ, πᾶν ὃ βούλομαι ποιεῖν.

8 ἢ seclusi. 19 τὸν Zeller, τὸ libri. ‖ ἡμιαμβειαίων libri, corr. Wachsm. 22 Cf. III n. 223. 26 μελανχυλίαν B. ‖ καταλήμψις B[1], καταλήψεις B[2]. 35 ὃ L, ὅ, τι AB, ὅτε M. 36 σέ γ', ὦ scripsi, ἐγὼ libri; ἔχω H. Stephanus, ἔχειν Wyttenb.

*Α. βασιλικὸν ⟨εἶ⟩πε⟨ς⟩· πλὴν ὅμως εἰπὸν πάλιν.*
*Θ. ὧν ἂν ἐπιθυμῶ, ταῦθ᾽ ὅπως γενήσεται.*

*ταυτὶ τὰ ἀμοιβαῖα Κλεάνθους φησὶν εἶναι Ποσειδώνιος ἐναργῶς ἐνδεικνύμενα τὴν περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς γνώμην αὐτοῦ, εἴ γε δὴ πεποίηκε τὸν Λογισμὸν τῷ Θυμῷ διαλεγόμενον ὡς ἕτερον ἑτέρῳ.*

**571** Galenus de Hipp. et Plat. plac. IX 1 (Vol. V p. 653 K. p. 653 Iu. Mueller). *Ποσειδώνιος ... δείκνυσιν ἐν τῇ περὶ παθῶν πραγματείᾳ διοικουμένους ἡμᾶς ὑπὸ τριῶν δυνάμεων, ἐπιθυμητικῆς τε καὶ θυμοειδοῦς καὶ λογιστικῆς· τῆς δὲ αὐτῆς δόξης ὁ Ποσειδώνιος ἔδειξεν εἶναι καὶ τὸν Κλεάνθην.*

**572** Galenus de Hipp. et Plat. plac. III 5 (Vol. V 332 K. p. 299 Iu. Mueller). *οὐ μόνον γὰρ Χρύσιππος ἀλλὰ καὶ Κλεάνθης καὶ Ζήνων ἑτοίμως αὐτὸ τιθέασιν* (scil. *τοὺς φόβους καὶ τὰς λύπας καὶ πάνθ᾽ ὅσα τοιαῦτα πάθη κατὰ τὴν καρδίαν συνίστασθαι*).

**573** Stobaeus Floril. 6, 3 Vol. I p. 281 Hense (6, 19 Mein.)

*ὅστις ἐπιθυμῶν ἀνέχετ᾽ αἰσχροῦ πράγματος,*
*οὗτος ποιήσει τοῦτ᾽, ἐὰν καιρὸν λάβῃ.*

**574** Sextus adv. math. XI 74. *ἀλλὰ Κλεάνθης μὲν μήτε κατὰ φύσιν αὐτὴν* (scil. *τὴν ἡδονὴν*) *εἶναι μήτ᾽ ἀξίαν ἔχειν αὐτὴν ἐν τῷ βίῳ, καθάπερ δὲ τὸ κάλλυντρον κατὰ φύσιν μὴ εἶναι.*

**575** Stobaeus Floril. 108, 59 Mein. *ὁ δὲ Κλεάνθης ἔλεγε τὴν λύπην ψυχῆς παράλυσιν.*

## De Consolatione.

**576** Cicero Tusc. disp. III 76. *sunt qui unum officium consolantis putent „malum illud omnino non esse," ut Cleanthi placet.*

**577** Cicero Tusc. disp. III 77. *nam Cleanthes quidem sapientem consolatur, qui consolatione non eget. nihil enim esse malum, quod turpe non sit, si lugenti persuaseris, non tu illi luctum, sed stultitiam detraxeris; alienum autem tempus docendi. et tamen non satis mihi videtur vidisse hoc Cleanthes, suscipi aliquando aegritudinem posse ex eo ipso, quod esse summum malum [Cleanthes] ipse fatebatur.*

## De Officiis.

(Vol. III p. 134 et 172.)

**576** Seneca de Benef. VI 12, 2. *Ille, qui totus ad se spectat et nobis prodest, quia aliter prodesse sibi non potest, eo mihi loco est, quo*

---

1 *βασιλικὸν εἶπες* scripsi, *βασιλικόν γε* libri; *βασιλικόν· εὖ γε* Scaliger, *ναὶ βασιλικόν γε* Meineke. 2 *ὧν ἂν* Cornarius, *ὡς ἂν* libri; *ὅσ᾽ ἂν* Wyttenb. 13 *αὐτὸ* Mueller, *αὐτὰ* libri. — Cf. I n. 210 (Zeno). 25 putent ⟨docere⟩ *Lambin.* 31 Cleanthes *seclusit Bake.*

— — *qui captivos suos, ut commodius veneant, pascit — — multum, ut ait Cleanthes, a beneficio distat negotiatio.* — cf. ib. II 31, 2. *non enim in vicem aliquid sibi reddi voluit (qui beneficium dat), aut non fuit beneficium, sed negotiatio.*

**579** Seneca de Benef. VI 10, 2. *beneficium voluntas nuda non efficit: sed quod beneficium non esset, si optimae ac plenissimae voluntati fortuna defuisset, id aeque beneficium non est, nisi fortunam voluntas antecessit; non enim profuisse te mihi oportet, ut ob hoc tibi obliger, sed ex destinato profuisse. Cleanthes exemplo eiusmodi utitur: „ad quaerendum,“ inquit, „et accersendum ex Academia Platonem duos pueros misi; alter totam porticum perscrutatus est, alia quoque loca, in quibus illum inveniri posse sperabat, percucurrit, et domum non minus lassus quam irritus redit: alter apud proximum circulatorem resedit, et, dum vagus atque erro vernaculis congregatur et ludit, transeuntem Platonem, quem non quaesierat, invenit. illum, inquit, laudabimus puerum, qui, quantum in se erat, quod iussus est fecit: hunc feliciter inertem castigabimus.“*

**580** Seneca de Benef. V 14, 1. *Cleanthes vehementius agit: „licet,“ inquit, „beneficium non sit, quod accepit, ipse tamen ingratus est, quia non fuit redditurus, etiam si accepisset. sic latro est, etiam antequam manus inquinet: quia ad occidendum iam armatus est et habet spoliandi atque interficiendi voluntatem. exercetur et aperitur opere nequitia, non incipit. sacrilegi dant poenas, quamvis nemo usque ad deos manus porrigat.“*

Ex libro περὶ χάριτος.

**581** Stobaeus Floril. 28, 17 Vol. I p. 621 Hense (28, 14 Mein.). *Κλεάνθης ἔφη τὸν ὀμνύοντα ἤτοι εὐορκεῖν ἢ ἐπιορκεῖν, καθ' ὃν ὄμνυσι χρόνον. ἐὰν μὲν γὰρ οὕτως ὀμνύῃ ὡς ἐπιτελέσων τὰ κατὰ τὸν ὅρκον, εὐορκεῖν, ἐὰν δὲ πρόθεσιν ἔχων μὴ ἐπιτελεῖν, ἐπιορκεῖν.*

**582** Seneca Epist. 94, 4. *Cleanthes utilem quidem iudicat et hanc partem (scil. philosophiae, quae dat propria cuique personae praecepta, nec in universum componit hominem, sed marito suadet quomodo se gerat adversus uxorem, patri quomodo educet liberos, domino quomodo servos regat), sed imbecillam nisi ab universo fluit, nisi decreta ipsa philosophiae et capita cognovit.*

---

12 invenire N¹G, *unde* posse⟨se⟩ *Gertz.* 13 rediit RGP. 14 error *plerique codices,* erroneus *Guelferbyt.* 23 Post „incipit“ in omnibus libris secuntur verba: „ipsum quod accepit, beneficium non erat, sed vocabatur“, quae del. Feldmann, alio transposuit Gertz. 29 *εὐορκεῖν*] Cf. Vol. II p. 63, 27 (Chrys. fr. log. n. 197).

**583** Stobaeus Floril. 6,4 Vol. I p. 281 Hense (6,20 Mein.)

*πόθεν ποτ' ἄρα γίνεται μοιχῶν γένος;*
*ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις.*

**584** Theophilus ad Autol. III 5 p. 119c. *τί σοι ἔδοξε τὰ Ζήνωνος ἢ τὰ Διογένους καὶ Κλεάνθους, ὁπόσα περιέχουσιν αἱ βίβλοι αὐτῶν διδάσκουσαι ἀνθρωποβορίας, πατέρας μὲν ὑπὸ ἰδίων τέκνων ἕψεσθαι καὶ βιβρώσκεσθαι καί, εἴ τις οὐ βούλοιτο ἢ μέρος τι τῆς μυσαρᾶς τροφῆς ἀποῤῥίψειεν, αὐτὸν κατεσθίεσθαι τὸν μὴ φαγόντα;*

**585** Sextus Pyrrh. hypot. III 199. 200. *παρ' ἡμῖν μὲν αἰσχρόν, μᾶλλον δὲ καὶ παράνομον νενόμισται τὸ τῆς ἀῤῥενομιξίας, παρὰ Γερμανοῖς δέ, ὥς φασίν, οὐκ αἰσχρόν — — καὶ τί θαυμαστόν, ὅπου γε καὶ οἱ ἀπὸ τῆς κυνικῆς φιλοσοφίας καὶ οἱ περὶ τὸν Κιτιέα Ζήνωνα καὶ Κλεάνθην καὶ Χρύσιππον ἀδιάφορον τοῦτο εἶναι φασίν;*

**586** Stobaeus Floril. 42,2 (Vol. I p. 760 Hense)

*κακουργότερον οὐδὲν διαβολῆς ἔστι πω·*
*λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον*
*μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.*

## De Civitate.

**587** Stobaeus Ecl. II 7,11l, p. 103,12 W. *ἱκανῶς δὲ καὶ Κλεάνθης περὶ τὸ σπουδαῖον εἶναι τὴν πόλιν λόγον ἠρώτησε τοιοῦτον. πόλις μὲν ⟨εἰ⟩ ἔστιν οἰκητήριον κατασκεύασμα, εἰς ὃ καταφεύγοντας ἔστι δίκην δοῦναι καὶ λαβεῖν, οὐκ ἀστεῖον δὴ πόλις ἐστίν; ἀλλὰ μὴν τοιοῦτόν ἐστιν ἡ πόλις οἰκητήριον· ἀστεῖον ἄρ' ἔστιν ἡ πόλις.*

**588** Seneca de Tranq. An. I 7. *promptus compositus sequor Zenona, Cleanthem, Chrysippum, quorum tamen nemo ad rem publicam accessit, at nemo non misit.*

## Varia.

**589** Diogenes Laërt. VII 14. *ἐνίοτε δὲ καὶ χαλκὸν εἰσέπραττε τοὺς περιϊσταμένους (ὁ Ζήνων) * * * * * * * τὸ διδόναι μὴ ἐνοχλεῖν, καθά φησι Κλεάνθης ἐν τῷ περὶ χαλκοῦ.*

**590** Philodemus *περὶ φιλοσόφων* Vol. Hercul. VIII col. 13, 18. *κ(αὶ Κλ)εάνθης ἐν (τῶ)ι περὶ στ(ήλη)ς (ὡ)ς Διογένους αὐτῆ(ς) μνη(μονεύ)ει καὶ ἐπαιν(εῖ) καὶ (μικρὸν) ὕστε(ρ)ον ἐν αὐτ(ῶι*

---

2 fortasse: *πόθεν ⟨δέ⟩ ποτ' ἄρα.* 4 n. 584 = Zeno fr. n. 254. 21 *εἰ* add. Heeren. 26 at *scripsi,* et A. Cf. Zeno fr. n. 271. 28 *ἐνίους* vulgo, corr. Wachsm. 29 lacunam significavi, *⟨ὥστε δεδιότας⟩* suppl. Cobetus. 33 *αὐτῆς* scil. *τῆς πολιτείας.* Librum Cleanthis puto adhiberi *τὸν περὶ ⟨ἐπι⟩στήμης.* Cf. ind. Laërt. n. 481.

*τού)τ(ωι καθά)π(ερ ἑτ)έρ(ω)θ' ἐνίων (ἐ)χθεσι(ν)* [l. *ἔκθεσιν*] *(ποι)ε(ῖτ)αι.*

**591** Athenaeus XI 467 d. *Κλεάνθης δὲ ὁ φιλόσοφος ἐν τῷ περὶ μεταλήψεως ἀπὸ τῶν κατασκευασάντων φησὶν ὀνομασθῆναι τήν τε Θηρίκλειον κύλικα καὶ τὴν Δεινιάδα.* — ib. 471 b. *Κλεάνθης δ' ἐν τῷ περὶ μεταλήψεως συγγράμματί φησι „τὰ τοίνυν εὑρήματα καὶ ὅσα τοιαῦτα, ἔτι κατάλοιπά ἐστι, οἷον Θηρίκλειος, Δεινιάς, Ἰφικρατίς. ταῦτα γὰρ πρότερον συνιστόρει τοὺς εὑρόντας, φαίνεται δ' ἔτι καὶ νῦν. εἰ δὲ μὴ ποιεῖ τοῦτο, μεταβεβληκὸς ἂν εἴη μικρὸν τοὔνομα. ἀλλά, καθάπερ εἴρηται, οὐκ ἔστιν πιστεῦσαι τῷ τυχόντι."*

## Spuria.

**592** Certamen Homer. et Hesiod. p. 4, 18 ed. Nietzsch (in act. societ. philol. Lips. tom. I fasc. 1). *Ἑλλάνικος μὲν γὰρ καὶ Κλεάνθης Μαίονα λέγουσι (πατέρα Ὁμήρου).*

Cf. Procl. vit. Hom. ap. Gaisford. Hephaestion p. 516: *οἱ μὲν οὖν Σμυρναῖον αὐτὸν ἀποφαινόμενοι Μαίονος μὲν πατρὸς λέγουσιν εἶναι.* — ib. p. 517. *Μαίονα γάρ φασι* (scil. *Ἑλλάνικος καὶ Δαμάστης καὶ Φερεκύδης*) *τὸν Ὁμήρου πατέρα.*

**593** [Porphyrius vit. Pythag. 1, 2. *Κλεάνθης ἐν τῷ πέμπτῳ τῶν μυθικῶν Σύρον, ἐκ Τύρου τῆς Συρίας* (scil. Mnesarchum, patrem Pythagorae). *σιτοδείας δὲ καταλαβούσης τοὺς Σαμίους προσπλεύσαντα τὸν Μνήσαρχον κατ' ἐμπορίαν μετὰ σίτου τῇ νήσῳ ἀποδόμενον τιμηθῆναι πολιτείᾳ. Πυθαγόρου δ' ἐκ παίδων εἰς πᾶσαν μάθησιν ὄντος εὐφυοῦς, τὸν Μνήσαρχον ἀπαγαγεῖν αὐτὸν εἰς Τύρον, ἐκεῖ δὲ τοῖς Χαλδαίοις συστάντα μετασχεῖν τούτων ἐπὶ πλεῖον ποιῆσαι, ἐπανελθόντα δ' εἰς τὴν Ἰωνίαν ἐντεῦθεν τὸν Πυθαγόραν πρῶτον μὲν Φερεκύδῃ τῷ Συρίῳ ὁμιλῆσαι, δεύτερον δ' Ἑρμοδάμαντι τῷ Κρεωφυλείῳ ἐν Σάμῳ ἤδη γηράσκοντι. λέγει δ' ὁ Κλεάνθης ἄλλους εἶναι οἳ τὸν πατέρα αὐτοῦ Τυρρηνὸν ἀποφαίνονται τῶν τὴν Λῆμνον ἐποικησάντων, ἐντεῦθεν δὲ κατὰ πρᾶξιν εἰς Σάμον ἐλθόντα καταμεῖναι καὶ ἀστὸν γενέσθαι. πλέοντος δὲ τοῦ Μνησάρχου εἰς τὴν Ἰταλίαν συμπλεύσαντα τὸν Πυθαγόραν νέον ὄντα κομιδῇ σφόδρα οὖσαν εὐδαίμονα καὶ τόθ' ὕστερον εἰς αὐτὴν ἀποπλεῦσαι. καταλέγει δ' αὐτοῦ καὶ ἀδελφοὺς δύο, Εὔνοστον καὶ Τυρρηνὸν πρεσβυτέρους.* — Clemens

---

5 Hesych. s. *Δεινιάδες* affert Kaibel. 7 *κατάλοιπά ἐστι* scripsi, *καὶ τὰ λοιπά ἐστι* cod. 8 *συνιστόρει* Casaubon., *συνιστορεῖν* cod. 10 *τῷ τυχόντι* scil. *ὀνόματι*. 14 *Βίονα* libri, corr. Sturz et Welcker. Num hoc quoque fragm. Neanthi tribuendum est? 19 *Κλεάνθης* libri hic et v. 28, *Νεάνθης* Menagius recte ex loco Clementis. 20 *Τύρου* Holstenius, *πύρρου* libri. 24 *Τύρον* Holstenius, *πύρραν* libri. 29 *Τυρρηνόν* Holstenius, *πύρρινον* libri. 34 *Εὔνομον* Diog. Laërt. VIII 2.

Alex. Strom. I p. 129 S. *ὡς δὲ Νεάνθης Σύριος ἢ Τύριος* (fuit Pythagoras). — Theodoret. Graec. aff. cur. I 24 p. 11, 13 Ra. *ὁ δὲ Νεάνθης Τύριον (Πυθαγόραν) ὀνομάζει.*]

**594** [Pseudo-Plut. de Fluviorum nominibus V. 3. *παράκειται δ' [αὐτῷ] τὸ Καυκάσιον ὄρος· ἐκαλεῖτο δὲ τὸ πρότερον Βορέου κοίτη δι' αἰτίαν τοιαύτην. Βορέας δι' ἐρωτικὴν ἐπιθυμίαν Χιόνην ἁρπάσας, τὴν Ἀρκτούρου θυγατέρα, κατήνεγκεν εἴς τινα λόφον, Νιφάντην καλούμενον, καὶ ἐγέννησεν ἐκ τῆς προειρημένης υἱὸν Ὕρπακα, τὸν διαδεξάμενον Ἡνιόχου τὴν βασιλείαν. μετωνομάσθη δὲ τὸ ὄρος κοίτη Βορέου. προσηγορεύθη δὲ Καύκασος διὰ περίστασιν τοιαύτην. μετὰ τὴν γιγαντομαχίαν Κρόνος, ἐκκλίνων τὰς Διὸς ἀπειλάς, ἔφυγεν εἰς τὴν ἀκρώρειαν Βορέου κοίτης, καὶ εἰς κροκόδειλον μεταμορφωθεὶς ⟨ἔλαθεν· ὁ δὲ Προμηθεὺς⟩ ἕνα τῶν ἐγχωρίων ποιμένα, Καύκασον, ἀναταμών, καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων, εἶπεν οὐ μακρὰν εἶναι τοὺς πολεμίους. ὁ δὲ Ζεὺς ἐπιφανεὶς τὸν μὲν πατέρα δήσας πλεκτῷ ἐρίῳ κατεταρτάρωσε· τὸ δ' ὄρος εἰς τιμὴν τοῦ ποιμένος Καύκασον μετονομάσας, προσέδησεν αὐτῷ τὸν Προμηθέα καὶ ἠνάγκασεν αὐτὸν ὑπὸ σπλαγχνοφάγου ἀετοῦ βασανίζεσθαι, ὅτι παρηνόμησεν εἰς τὰ σπλάγχνα, ὡς ἱστορεῖ Κλεάνθης ἐν γ' θεομαχίας.*]

**595** [Pseudo-Plut. de Fluv. V. 4. *γεννᾶται δ' ἐν αὐτῷ* (Caucaso) *βοτάνη Προμήθειος καλουμένη, ἣν Μήδεια συλλέγουσα καὶ λειοτριβοῦσα πρὸς ἀντιπαθείας τοῦ πατρὸς ἐχρήσατο, καθὼς ἱστορεῖ ὁ αὐτός* (scil. Cleanthes).]

**596** [Pseudo-Plut. de Fluv. XVII 4. *γεννᾶται δ' ἐν αὐτῷ* (Taygeto) *βοτάνη καλουμένη Χαρισία ἣν ⟨αἱ⟩ γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἀγαπῶνται· καθὼς ἱστορεῖ Κλεάνθης ἐν α' περὶ ὀρῶν.*]

## Cleanthis apophthegmata.

**597** Diogenes Laërt. VII 169. *φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι ὄντα ἀκροατήν, διὰ τί ἀντλεῖ; τὸν δ' εἰπεῖν „ἀντλῶ γὰρ μόνον; τί δ'; οὐχὶ σκάπτω; τί δ'; οὐκ ἄρδω; καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα.“ καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο, καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς.* — Plut. de vitand. aere alieno 7, 5 p. 830 c. *Κλεάνθην δὲ ὁ βασιλεὺς Ἀντίγονος ἠρώτα, διὰ χρόνου θεασάμενος ἐν ταῖς Ἀθήναις „ἀλεῖς ἔτι, Κλέανθες“; „ἀλῶ, φησίν, ὦ βασιλεῦ, ὃ ποιῶ ἕνεκα τοῦ Ζήνωνος μὴ ἀποστῆναι μηδὲ φιλοσοφίας.“*

**598** Diogenes Laërt. VII 171. *προκρίνων δὲ τὸν ἑαυτοῦ βίον*

---

13 *ἔλαθεν — Προμηθεὺς* suppl. Wyt. 14 *ἀναταμών* Wyt., *ἀναπαύων* libri. 26 *καὶ* libri, fort. *ἵνα*. 36 *Ζήνωνος μὴ* scripsi, *ζῆν μόνος δὲ* libri.

τοῦ τῶν πλουσίων, ἔλεγεν, ἐν ᾧ σφαιρίζουσιν ἐκεῖνοι τὴν σκληρὰν καὶ ἄκαρπον αὐτὸς ἐργάζεσθαι, σκάπτων.

**599** Diogenes Laërt. VII 170. *καὶ σκωπτόμενος ὑπὸ τῶν συμμαθητῶν ἠνέσχετο, καὶ ὄνος ἀκούων προσεδέχετο, λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον.*

**600** Diogenes Laërt. VII 171. *καί ποτε ὀνειδιζόμενος ὡς δειλός „διὰ τοῦτο, εἶπεν, ὀλίγα ἁμαρτάνω.“*

**601** Diogenes Laërt. VII 174. *ὀνειδίσαντος αὐτῷ τινος εἰς τὸ γῆρας „κἀγώ, ἔφη, ἀπιέναι βούλομαι· ὅταν δὲ πανταχόθεν ἐμαυτὸν ὑγιαίνοντα περινοῶ καὶ γράφοντα καὶ ἀναγινώσκοντα, πάλιν μένω.“*

**602** Diogenes Laërt. VII 171. *πολλάκις δὲ καὶ ἑαυτῷ ἐπέπληττεν· ὧν ἀκούσας Ἀρίστων „τίνι, ἔφη, ἐπιπλήττεις;“ καὶ ὃς γελάσας „πρεσβύτῃ, φησί, πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή.“*

**603** Diogenes Laërt. VII 173. *Σωσιθέου τοῦ ποιητοῦ ἐν θεάτρῳ εἰπόντος πρὸς αὐτὸν παρόντα,*

*οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ,*

*ἔμεινεν ἐπὶ ταὐτοῦ σχήματος. ἐφ’ ᾧ ἀγασθέντες οἱ ἀκροαταί, τὸν μὲν ἐκρότησαν, τὸν δὲ Σωσίθεον ἐξέβαλον. μεταγινώσκοντα δὲ αὐτὸν ἐπὶ τῇ λοιδορίᾳ προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δὲ ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν.*

**604** Stobaeus Floril. 7,54 Vol. I p. 325 Hense. *Κλεάνθης ὑπὸ γλώττης ἕλκους αὐτῷ γενομένου τὴν τροφὴν οὐκ ἐδύνατο παραπέμπειν· ὡς δὲ ῥᾷον ἔσχε καὶ ὁ ἰατρὸς αὐτῷ τροφὴν προσήγαγεν „σὺ δέ με, ἔφη, βούλει ἤδη τὸ πλέον τῆς ὁδοῦ κατανύσαντα ἀναστρέφειν, εἶτα πάλιν ἐξ ὑπαρχῆς τὴν αὐτὴν ἔρχεσθαι“; καὶ ἐξῆλθεν τοῦ βίου.*

**605** Diogenes Laërt. VII 171. *εἰπόντος δέ τινος Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα „παῦσαι, ἔφη, καὶ μὴ ψέγε. εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ.“ καὶ ὁ Ἀρκεσίλαος „οὐ κολακεύομαι“, φησί. πρὸς ὃν ὁ Κλεάνθης „ναί, ἔφη, σὲ κολακεύω, φάμενος ἄλλα μὲν λέγειν, ἕτερα δὲ ποιεῖν.“*

**606** Diogenes Laërt. VII 173. *ἔλεγε δὲ καὶ τοὺς ἐκ τοῦ περιπάτου ὅμοιόν τι πάσχειν ταῖς λύραις, αἳ καλῶς φθεγξάμεναι αὑτῶν οὐκ ἀκούουσι.*

**607** Cicero Tusc. disp. II 60. *e quibus (scil. philosophis) homo sane levis, Heracleotes Dionysius, cum a Zenone fortis esse didicisset, a*

---

2 *τὴν ἄκαρπον* B, *ἄκαρπον* in litura a $P^s$; *αὐτὸς* om. LD. 4 *ἠνείχετο* PL. 10 *ἀπογιγνώσκοντα* B. 16 *ὡς ἡ Κλεάνθου* B. 17 *τὸν*] *τὸ* B, *τῷ* fortasse P ante lituram, *τῷ* L. — Cf. similes narratiunculas n. 470—472. 24 *προσήνεγκεν* Cobetus. 26 *ἄρχεσθαι* libri, corr. Gesner. Cf. n. 474—476. 30 *ναί* PL, *καὶ* BD; fortasse: ⟨ἢ⟩ *καί*. ‖ *ἔφησε* P.

*dolore dedoctus est. nam cum ex renibus laboraret, ipso in eiulatu clamitabat falsa esse illa, quae antea de dolore ipse sensisset. quem cum Cleanthes condiscipulus rogaret, quaenam ratio eum de sententia deduxisset, respondit: „quia si, cum tantum operae philosophiae dedissem, dolorem tamen ferre non possem, satis esset argumenti malum esse dolorem. plurimos autem annos in philosophia consumpsi nec ferre possum: malum est igitur dolor.“ tum Cleanthem, cum pede terram percussisset, versum ex Epigonis ferunt dixisse:*

*Audisne haec, Amphiaraë, sub terram abdite?*

*Zenonem significabat a quo illum degenerare dolebat.*

**608** Stobaeus Floril. 82, 9 Mein. = Ecl. II 2, 16. *Κλεάνθης ἐρωτώμενος διὰ τί παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων ὅμως πλείους διέλαμψαν ἢ νῦν „ὅτι, εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος.“*

**609** Diogenes Laërt. VII 172. *μειρακίῳ ποτὲ διαλεγόμενος ἐπύθετο, εἰ αἰσθάνεται· τοῦ δ' ἐπινεύσαντος „διὰ τί οὖν, εἶπεν, ἐγὼ οὐκ αἰσθάνομαι ὅτι αἰσθάνει;“*

**610** Diogenes Laërt. VII 172. *ἐρομένου τινός, τί ὑποτίθεσθαι δεῖ τῷ υἱῷ „τὸ τῆς Ἠλέκτρας, ἔφη, σῖγα σῖγα λεπτὸν ἴχνος.“* (Eurip. Orest. 140.)

**611** Musonius ap. Stob. Ecl. II 31, 125 p. 243, 1 Wachsm. *ἢ οὐ τοιοῦτος παῖς ἐκεῖνος ὁ Λάκων, ὃς Κλεάνθην τὸν φιλόσοφον ἠρώτησεν, εἰ ἀγαθὸν ὁ πόνος ἐστίν; οὕτω γὰρ ἐκεῖνος φαίνεται φύσει πεφυκὼς καλῶς καὶ τεθραμμένος εὖ πρὸς ἀρετήν, ὥστε ἔγγιον εἶναι νομίζειν τὸν πόνον τῆς τἀγαθοῦ φύσεως ἢ τῆς τοῦ κακοῦ· ὅς γε ὡς ὁμολογουμένου τοῦ μὴ κακὸν ὑπάρχειν αὐτόν, εἰ ἀγαθὸν τυγχάνει ὢν ἐπυνθάνετο. ὅθεν καὶ ὁ Κλεάνθης ἀγασθεὶς τοῦ παιδὸς εἶπεν ἄρα πρὸς αὐτόν „αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις* (Hom. Od. δ 611).“ — Diogenes Laërt. VII 172. *Λάκωνός τινος εἰπόντος, ὅτι ὁ πόνος ἀγαθόν, διαχυθείς φησιν „αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος.“*

**612** Stobaeus Ecl. II 31, 63 Wachsm. *Κλεάνθης, ἑταίρου ἀπιέναι μέλλοντος καὶ ἐρωτῶντος, πῶς ἂν ἥκιστα ἁμαρτάνοι, εἶπεν, „εἰ παρ' ἕκαστα ὧν πράττεις δοκοίης ἐμὲ παρεῖναι.“* — Cf. Zeno apoph. 42 Maxim. Gnom. 5 p. 189, 1 R.

8 Scil. Sophoclis (fr. adesp. 2 p. 651 Nauck). 13 πλείους ⟨παιδείᾳ⟩ Usener, πλείους ⟨ἀρετῇ⟩ Meineke melius. 18 ἐρωμένου B. ‖ ὑποτίθεσαι (om. δεῖ) BP, ὑποτίθεσθαι (om. δεῖ) L. 19 τὸ ἐκ τῆς BPLD. ‖ λευκὸν BD. 24 καλὸς L, corr. Pflugk. ‖ ἔγγυον L, corr. Emperius. 25 ἢ Pflugk, καὶ L. ‖ ὅς γε Pflugk, ὥστε L. 26 εἰ Halm, ἢ L. 32 ἑτέρου L, corr. Boissonade. 34 πράττοις Usener. ‖ ἐμὲ Cobetus, με libri. Similia Epicurus discipulis fertur dixisse Usen. fr. 211: sic fac omnia, tamquam spectet Epicurus.

**613** Diogenes Laërt. VII 172. *φησὶ δὲ ὁ Ἑκάτων ἐν ταῖς χρείαις, εὐμόρφου μειρακίου εἰπόντος „εἰ ὁ εἰς τὴν γαστέρα τύπτων γαστρίζει, καὶ ὁ εἰς τοὺς μηροὺς τύπτων μηρίζει,“ ἔφη „σὺ μὲν τοὺς διαμηρισμοὺς ἔχε, μειράκιον. αἱ δ' ἀνάλογοι φωναὶ τὰ ἀνάλογα οὐ πάντως σημαίνουσι πράγματα.“*

**614** Plutarchus Alc. 6. *Ὁ μὲν οὖν Κλεάνθης ἔλεγε τὸν ἐρώμενον ὑφ' ἑαυτοῦ μὲν ἐκ τῶν ὤτων κρατεῖσθαι, τοῖς δ' ἀντερασταῖς πολλὰς λαβὰς παρέχειν ἀθίκτους ἑαυτῷ, τὴν γαστέρα λέγων καὶ τὰ αἰδοῖα καὶ τὸν λαιμόν.*

**615** Stobaeus Floril. 33, 8 (Vol. I p. 679 Hense). *σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη „τί σιγᾷς; καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν,“ „ἡδύ, ἔφη, ἀλλ' ὅσῳ ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον.“*

**616** Diogenes Laërt. VII 174. *πρὸς δὲ τὸν μονήρη καὶ ἑαυτῷ λαλοῦντα „οὐ φαύλῳ, ἔφη, ἀνθρώπῳ λαλεῖς.“*

**617** Stobaeus Floril. 95, 28 Mein. *Κλεάνθης, ἐρωτώμενος πῶς ἄν τις εἴη πλούσιος, εἶπεν „εἰ τῶν ἐπιθυμιῶν εἴη πένης.“*

**618** Diogenes Laërt. VII 173. *λέγεται δέ, φάσκοντος αὐτοῦ κατὰ Ζήνωνα καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκους τινὰς εὐτραπέλους ἀγαγεῖν πρὸς αὐτὸν κίναιδον ἐσκληραγωγημένον ἐν ἀγρῷ, καὶ ἀξιοῦν ἀποφαίνεσθαι περὶ τοῦ ἤθους· τὸν δὲ διαπορούμενον κελεῦσαι ἀπιέναι τὸν ἄνθρωπον. ὡς δὲ ἀπιὼν ἐκεῖνος ἔπταρεν „ἔχω, εἶπεν, αὐτόν,“ ὁ Κλεάνθης „μαλακός ἐστιν.“* Cf. Zeno n. 204 et Dio Prus. or. XXXIII § 53, 54, qui de Chrysippo Tarsi (*τῶν γὰρ ἐνθάδε δεινῶν τινα λέγουσι* etc.) eadem narrat. Cf. Vol. II n. 10a.

**619** Arrianus Epict. diss. IV 1, 173. *παράδοξα μὲν ἴσως φασὶν οἱ φιλόσοφοι, καθάπερ καὶ ὁ Κλεάνθης ἔλεγεν, οὐ μὴν παράλογα.* Cf. Zeno n. 281.

---

## Appendix.

### Fragmenta Cleanthis ad singulos libros relata.

1. *Ἀρχαιολογία* (ind.).
2. *Διατριβῶν δύο* (ind.).
3. *Ἐρωτικὴ τέχνη* (ind.). Cf. n. 585.
4. *Ἡρακλείτου ἐξηγήσεις τέσσαρα* (ind.). Cf. n. 519.

---

5 verba *αἱ δ' — πράγματα* secludit Cobetus. *καὶ πράγματα* P, in B rasura ante *πρ*.

5. Περὶ Ἀγωγῆς (ind.).
6. Περὶ Αἰσθήσεως (ind.). Cf. n. 484.
7. Περὶ Ἀρετῶν (ind.). Cf. n. 564—569.
8. Περὶ Ἀτόμων n. 493. fortasse = πρὸς Δημόκριτον (ind.).
9. Περὶ Βασιλείας (ind.).
10. Περὶ Βουλῆς (ind.).
11. Περὶ Γιγάντων (ind.).
12. Περὶ Γοργίππου (ind.).
13. Περὶ Διαλεκτικῆς (ind.). Cf. n. 488.
14. Περὶ Δόξης (ind.). Cf. n. 559. 560.
15. Περὶ Ἐλευθερίας (ind.).
16. Περὶ Ἐπιστήμης (ind.). Cf. n. 590 adn.
17. Περὶ Ἔρωτος (ind.).
18. Περὶ Εὐβουλίας (ind.).
19. Περὶ Εὐφυΐας (ind.).
20. Περὶ Ἡδονῆς (ind.) n. 530. 552. 558.
21. Περὶ Θεῶν (ind.) n. 543.
22. Περὶ Ἰδίων (ind.).
23. Περὶ Καλῶν (ind.).
24. Περὶ Κατηγορημάτων (ind.) n. 488.
25. Περὶ Μεταλήψεως n. 591.
26. Περὶ Νόμων (ind.).
27. Περὶ Ὁρμῆς (ind.).
28. Περὶ Πράξεως (ind.).
29. Περὶ Στήλης n. 590. Titulus dubiae fidei, qui uno tantum eoque mutilo Philodemi loco cum aliqua probabilitate suppletur.
30. Περὶ Συμποσίου (ind.).
31. Περὶ Τέλους (ind.). Cf. n. 552—556.
32. Περὶ Τέχνης (ind.). Cf. n. 490.
33. Περὶ Τῆς Ζήνωνος φυσιολογίας δύο (ind.).
34. Περὶ Τιμῆς (ind.).
35. Περὶ Τοῦ Δικάζειν (ind.).
36. Περὶ Τοῦ Καθήκοντος (ind.).
37. Περὶ Τοῦ Κυριεύοντος (ind.) n. 489.
38. Περὶ Τοῦ Λόγου τρία (ind.).
39. Περὶ Τοῦ Ὅτι Ἡ Αὐτὴ Ἀρετὴ Ἀνδρὸς Καὶ Γυναικός (ind.).
40. Περὶ Τοῦ Ποιητοῦ (ind.). Cf. n. 526. 535. 549. 592.
41. Περὶ Τοῦ Τὸν Σοφὸν Σοφιστεύειν (ind.).
42. Περὶ Τρόπων (ind.).
43. Περὶ Τῶν Ἀπόρων (ind.).

44. *Περὶ Ὑμεναίου* (ind.).
45. *Περὶ Φιλίας* (ind.).
46. *Περὶ Φθονερίας* (ind.).
47. *Περὶ Χαλκοῦ* n. 589.
48. *Περὶ Χάριτος* (ind.) n. 578—580.
49. *Περὶ Χρειῶν* (ind.).
50. *Περὶ Χρόνου* (ind.).
51. *Πολιτικός* (ind.) n. 587—588.
52. *Πρὸς Ἀρίσταρχον* (ind.) n. 500.
53. *Πρὸς Δημόκριτον* (ind.). Fortasse = *Περὶ Ἀτόμων* n. 493.
54. *Πρὸς Ἥριλλον* (ind.).
55. *Προτρεπτικός* (ind.). Cf. n. 567.
56. *Τέχνη Ῥητορική* n. 491. 492.
57. *Ὑπομνήματα Φυσικά* n. 563.

---

## 5a. Sphaerus.

**620** Diogenes Laërt. VII 177. *Τούτου* (scil. *τοῦ Κλεάνθους*) — *ἤκουσε μετὰ Ζήνωνα καὶ Σφαῖρος ὁ Βοσποριανός, ὃς προκοπὴν ἱκανὴν περιποιησάμενος λόγων εἰς Ἀλεξάνδρειαν ἀπῄει πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα* (secuntur duo narratiunculae cf. n. 625). *Βιβλία δὲ γέγραφε τάδε·*

*περὶ κόσμου δύο·*
*περὶ στοιχείων·*
*⟨περὶ⟩ σπέρματος* n. 626.
*περὶ τύχης·*
*περὶ ἐλαχίστων·*
*πρὸς τὰς ἀτόμους καὶ τὰ εἴδωλα·*
*περὶ αἰσθητηρίων* n. 627.
*περὶ Ἡρακλείτου πέντε·*
*διατριβῶν·*
*περὶ τῆς ἠθικῆς διατάξεως·*
*περὶ καθήκοντος·*
*περὶ ὁρμῆς·*
*περὶ παθῶν δύο·*
*περὶ βασιλείας·*

---

18 *ἐν λόγῳ* BD, *λόγω* (*ἐν* eras.) P, *λόγων* L. ‖ *ἀπῆρε* B (*η* B²) P 22 *στοιχείων* BPLD. 23 *περὶ* inserui. 33 *διατριβῶν* add. BD.

περὶ Λακωνικῆς πολιτείας n. 629
περὶ Λυκούργου καὶ Σωκράτους τρία·
περὶ νόμου·
περὶ μαντικῆς·
διαλόγους ἐρωτικούς·
περὶ τῶν Ἐρετριακῶν φιλοσόφων·
περὶ ὁμοίων·
περὶ ὅρων (n. 628).
περὶ ἕξεως·
περὶ τῶν ἀντιλεγομένων τρία·
περὶ λόγου·
περὶ πλούτου·
περὶ δόξης·
περὶ θανάτου·
τέχνης διαλεκτικῆς δύο·
περὶ κατηγορημάτων·
περὶ ἀμφιβολιῶν·
ἐπιστολάς.

**621** Diogenes Laërt. VII 185. *Πτολεμαίου τε πρὸς Κλεάνθην ἐπιστείλαντος ἢ αὐτὸν ἐλθεῖν ἢ πέμψαι τινά, Σφαῖρος μὲν ἀπῆλθε, Χρύσιππος δὲ περιεῖδε.*

**622** Plutarchus vita Cleomenis 2. *λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν Κλεομένη μετασχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρου τοῦ Βορυσθενίτου παραβαλόντος εἰς τὴν Λακεδαίμονα καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους οὐκ ἀμελῶς διατρίβοντος. Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν, καὶ τοῦ Κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν. — ὁ δὲ Στωϊκὸς λόγος ἔχει τι πρὸς τὰς μεγάλας φύσεις καὶ ὀξείας ἐπισφαλὲς καὶ παράβολον, βαθεῖ δὲ καὶ πρᾴῳ κεραννύμενος ἤθει μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν.*

**623** Plutarchus vita Cleomenis 11. (*ὁ Κλεομένης*) *ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη καὶ τὴν λεγομένην ἀγωγήν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη, ταχὺ τὸν προσήκοντα τῶν τε γυμνασίων καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανόντων καὶ συστελλομένων ὀλίγων μὲν ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων εἰς τὴν εὐτελῆ καὶ Λακωνικὴν ἐκείνην δίαιταν.*

**624** Athenaeus VIII 354e. *οὐκ ἀχαρίτως δὲ καὶ Σφαῖρον, τὸν συσχολάσαντα μὲν Χρυσίππῳ παρὰ Κλεάνθει, μετάπεμπτον δὲ γενό-*

---

3 νόμους B. 20 ἀποστείλαντος BLD, ἐπιστείλαντος, sed ε et ι in litura P. 21 ὑπερεῖδε BPD. 37 ἀχαρίστως A, corr. Cas.

*μενον εἰς Ἀλεξάνδρειαν ὑπὸ τοῦ βασιλέως Πτολεμαίου, κηρίνων ποτὲ ἐν τῷ δείπνῳ παρατεθεισῶν ὀρνίθων, ἐκτείναντα τὰς χεῖρας ἐπισχεθῆναι ὑπὸ τοῦ βασιλέως, ὡς ψεύδει συγκατατιθέμενον. τὸν δ' εὐστόχως ἀποκρίνασθαι εἰπόντα οὐ τούτῳ συγκατίθεσθαι ὅτι εἰσὶν ὄρνεις, ἀλλ' ὅτι εὔλογόν ἐστι ταύτας ὄρνεις εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου· τὴν μὲν γὰρ ἀδιάψευστον εἶναι, τὸ δ' εὔλογον ⟨κἂν⟩ ἄλλως ἀποβαίνειν.*

**625** Diogenes Laërt. VII 177. *εἰς Ἀλεξάνδρειαν ἀπῄει (ὁ Σφαῖρος) πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα. λόγου δέ ποτε γενομένου περὶ τοῦ δοξάσειν τὸν σοφὸν καὶ τοῦ Σφαίρου εἰπόντος ὡς οὐ δοξάσει, βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτὸν κηρίνας ῥόας ἐκέλευσε παρατεθῆναι· τοῦ δὲ Σφαίρου ἀπατηθέντος ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκατατεθεῖσθαι αὐτὸν φαντασίᾳ, πρὸς ὃν ὁ Σφαῖρος εὐστόχως ἀπεκρίνατο, εἰπὼν οὕτως συγκατατεθεῖσθαι, οὐχ ὅτι ῥόαι εἰσίν, ἀλλ' ὅτι εὔλογόν ἐστι ῥόας αὐτὰς εἶναι· διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου.*

*πρὸς δὲ Μνησίστρατον κατηγοροῦντα αὐτοῦ ὅτι Πτολεμαῖον οὔ φησι βασιλέα εἶναι· „τοιοῦτον δὲ ὄντα τὸν Πτολεμαῖον καὶ βασιλέα εἶναι.“*

**626** Diogenes Laërt. VII 159. *καὶ ἀφ' ὅλων δὲ τῶν σωμάτων αὐτό φασι καταφέρεσθαι* (scil. *τὸ σπέρμα*) *οἱ περὶ τὸν Σφαῖρον, πάντων γοῦν γεννητικὸν εἶναι τῶν τοῦ σώματος μερῶν. τὸ δὲ τῆς θηλείας ἄγονον ἀποφαίνονται· ἄτονόν τε γὰρ εἶναι καὶ ὀλίγον καὶ ὑδατῶδες, ὡς ὁ Σφαῖρός φησιν.*

**627** Aëtius VI 15, 1 (DG p. 405b 26). *Σφαῖρος ὁ Στωϊκὸς ὁρατὸν εἶναι τὸ σκότος. ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα εἰς αὐτὸ αὐγήν.*

**628** Cicero Tusc. disp. IV 53. *Fortitudo est igitur „adfectio animi legi summae in perpetiendis rebus obtemperans“ vel „conservatio stabilis iudicii in eis rebus, quae formidolosae videntur, subeundis et repellendis“ vel „scientia rerum formidolosarum contrariarumque aut omnino neglegendarum, conservans earum rerum stabile iudicium“ vel brevius, ut Chrysippus — nam superiores definitiones erant Sphaeri, hominis in primis bene definientis, ut putant Stoici; sunt enim omnino*

---

4 *ἀποκρίνασθαι* Kaibel, *ἀποφήνασθαι* A. 7 *κἂν* add. Wilam. — *ὄρνιθες* in hanc narratiunculam errore videntur irrepsisse *ἀντὶ τῶν ῥοῶν* cf. n. 625. 8 *ἀπῆρε* B (*η* B²) P. 11 *ἔλεγξε* BD. 18 *φησι βασιλέα εἶναι* L, *φησὶν εἶναι βασιλέα εἶναι* BP, *φασι βασιλέα εἶναι οὐκ εἶναι ἔφη* D. 21 *φασὶν αὐτὸ* BP. 22 *γεννητικῶν* B. 23 *γὰρ* erasum in P, om. L. — librum Sphaeri *περὶ σπέρματος* habet Laërtius in indice librorum n. 620. 26 Eandem doctrinam isdem verbis Aëtius Stoicis universis tribuit. 31 aut] et *O. Heine.* 34 Fortasse ad librum *περὶ τῶν ὅρων* referendum. — Cf. Vol. III n. 285 (Chrys.).

*omnis fere similes, sed declarant communis notiones alia magis alia etc.*

**629** Plutarchus vita Lycurgi 5. *τοσούτους δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. Ὁ δὲ Σφαῖρος ἐξ ἀρχῆς φησι τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας.*

**630** Athenaeus IV 141c. *Σφαῖρος δ' ἐν τρίτῳ Λακωνικῆς πολιτείας γράφει· „φέρουσι δὲ καὶ ἐπάικλα αὐτοῖς οἱ φιδίται· καὶ τῶν μὲν ἀγρευομένων ὑφ' αὐτῶν ἐνίοτε οἱ πολλοί, οὐ μὴν ἀλλ' οἵ γε πλούσιοι καὶ ἄρτον καὶ ὧν ἂν ⟨ᾖ⟩ ὥρα ἐκ τῶν ἀγρῶν, ὅσον εἰς αὐτὴν τὴν συνουσίαν, νομίζοντες καὶ τὸ πλείονα τῶν ἱκανῶν παρασκευάζειν περιττὸν εἶναι, μὴ μέλλοντά γε προσφέρεσθαι."*

## 6. *Τινὲς τῶν ἀρχαιοτέρων Στωϊκῶν.*

**631** Diocles Magnes apud Diog. Laërt. VII 54. *ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωϊκῶν τὸν ὀρθὸν λόγον κριτήριον ἀπολείπουσιν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ περὶ κριτηρίου φησί.*

6 Ex libro *περὶ τῆς Λακωνικῆς πολιτείας* haec sumpta sunt. 10 nonne scribendum: *ἑκάστοτε*? 11 *ᾖ* add. Kaibel. 12 *τὸ* Cas., *τὰ* A. 15 Ad quos philosophos haec verba referantur, nescimus. Disputavit de ea quaestione Hirzelius.